MASTER
NEGATIVE
NO. 92-80490-8

MICROFILMED 1991

COLUMBIA UNIVERSITY LIBRARIES/NEW YORK

as part of the
"Foundations of Western Civilization Preservation Project"

Funded by the
NATIONAL ENDOWMENT FOR THE HUMANITIES

Reproductions may not be made without permission from
Columbia University Library

COPYRIGHT STATEMENT

The copyright law of the United States -- Title 17, United States Code -- concerns the making of photocopies or other reproductions of copyrighted material...

Columbia University Library reserves the right to refuse to accept a copy order if, in its judgement, fulfillment of the order would involve violation of the copyright law.

AUTHOR:

SCHNITZER, KARL FRIEDRICH

TITLE:

VORKURSUS ZUR CHRESTOMATHIE AUS...

PLACE:

REUTLINGEN

DATE:

1846

Master Negative #

92-80490-8

COLUMBIA UNIVERSITY LIBRARIES
PRESERVATION DEPARTMENT

BIBLIOGRAPHIC MICROFORM TARGET

Original Material as Filmed - Existing Bibliographic Record

93XII
Sch5

Schnitzer, Karl Friedrich, 1805-1874.
Vorkursus zur Chrestomathie aus Xenophon, von Dr.K.F.Schnitzer... Reutlingen, Mäcken, 1846.
40 p. 22 cm.

375486

Restrictions on Use:

TECHNICAL MICROFORM DATA

FILM SIZE: 35mm REDUCTION RATIO: 11X
IMAGE PLACEMENT: IA (IIA) IB IIB
DATE FILMED: 3.4.92 INITIALS M.M.
FILMED BY: RESEARCH PUBLICATIONS, INC WOODBRIDGE, CT


AIIM
Association for Information and Image Management
1100 Wayne Avenue, Suite 1100
Silver Spring, Maryland 20910
301/587-8202
Centimeter
1 2 3 4 5 6 7 8 9 10 11 12 13 14 15 mm
1 2 3 4 5
Inches
MANUFACTURED TO AIIM STANDARDS
BY APPLIED IMAGE, INC.



Class 88XH Sch 5
Book

Columbia College Library

Madison Av. and 49th St. New York.

BOUGHT, MAY 6, 1887, FROM THE LIBRARY OF

CHARLES SHORT, M.A., LL.D.

Professor of Latin in Columbia College

1868 to his death, 1886.

Chas. Short

Vorkursus

zur

Chrestomathie aus Xenophon

von

Dr. K. L. Schnitzer, Rector.

Reutlingen,
Verlag von J. C. Mäcken, Sohn.
1846.

21 NOV 87

Vorwort.

Nachdem ich die **Chrestomathie aus Xenophon** dem K. Studienrath vorgelegt hatte, wünschte diese hohe Behörde, daß derselben ein Vorkursus vorangeschickt werde, durch welchen der Anfänger von der Formenlehre und dem Elementarbuch zur Chrestomathie hinübergeführt würde. Der Vorkursus sollte 2—3 Bogen betragen und hauptsächlich Anekdoten, Apophthegmen ꝛc. ꝛc. enthalten, im übrigen aber der Grundsatz der Chrestomathie (attische Diction) möglichst eingehalten werden.

Da nach der neuesten Verordnung die Anfänger **Kühner's Elementargrammatik**, also auch eine Anzahl Beispiele zu den allgemeinsten Regeln der Syntax nach der Reihenfolge der Regeln durchgemacht haben sollen, zuviele einzelne, meist inhaltsleere Beispiele aber, die dann doch auch wieder oft der Reihenfolge der Regeln vorgreifen müssen, etwas Ermüdendes und Geisttödtendes an sich haben, ohne auch nur gehörig im Gedächtniß zu bleiben, da ferner die Syntax ohnehin in der Chrestomathie, vorzüglich aber in dem Abschnitt aus Isokrates so vollständig als möglich berücksichtigt ist, so glaubte ich, den Vorkursus so einrichten zu müssen, daß der Schüler neben der Einübung der Formen, besonders der unregelmäßigen Verba, hauptsächlich im Lesen, d. h. in der Auffassung inhaltvoller zusammenhängender Sätze geübt werde. Zu diesem Zweck schien eine Sammlung historischer Gedenksätze, die zugleich den materiellen Nutzen einer Uebersicht der griechischen Geschichte darbieten, am geeignetsten zu sein. Einhundert und dreißig solcher Sätze aus Herodot, Thucydides, Xenophon, Plato, Isocrates, Demosthenes und einigen andern Rednern (blos die 5 letzten Nummern sind aus Lucian) stellen die ganze griechische Geschichte in ihren

80122

Hauptmomenten dar. Hierauf folgen einige Apothegmen und Anekdoten aus Plato, Xen., Lucian u. A., die letzte Nr. (23) ist aus Herodot in's Att'sche übertragen. Endlich enthält die dritte Abtheilung theils Fabeln, theils Parabeln, Nro 1. und 4. aus Xen., 2, 3 und 5 aus Plato, 6 aus Herodot; die übrigen Fabeln (7—26) sind solche aus der Sammlung des Planudes, welche den Stempel des Alterthums am erkennbarsten an sich tragen, und am leichtesten, wo es nöthig schien, die Herstellung gutgriechischer Diction zuließen. Diese Verbesserung einzelner Ausdrücke und Formen hat sich der Herausgeber ohne Bedenken erlaubt; bei Nro 7. kam auch Plato Alc. I. p. 123. zu Hülfe.

Diesem habe ich nur noch hinzuzusetzen, daß das Wörterbuch zur Chrestom. auch sämmtliche im Vorkursus vorkommenden Vocabeln enthält, und daß der Druck des seit 3 Monaten im Manuscr. fertigen Vorkursus ohne meine Schuld so lange verzögert worden ist.

Nachdem nun der K. Studienrath durch h. Erlaß v. 2. Apr. unter Ausschließung aller andern griech. Lesebücher die Wahl zwischen meiner, nach dem Grundsatz reinattischer Sprache und anziehenden Inhalts bearbeiteten Chrestomathie und der Metzger-Schmid'schen den Vorständen und den betreffenden Lehrern an den württembergischen Mittelschulen überlassen hat, habe ich keinen Grund zu zweifeln, daß diese meine Arbeit für die Schule Gelegenheit finden werde, sich in derselben zu erproben. Indessen wiederhole ich hier, daß ich Bemerkungen und Berichtigungen stets mit Dank aufnehmen und seiner Zeit sorgfältig benützen werde.

Reutlingen den 10. Juni 1846.

Schnitzer.

/

Vorkursus.

A) Historisches.

1. Ἡρακλῆς καὶ Θησεὺς μόνοι τῶν προγεγενημένων [1]) ὑπὲρ τοῦ βίου τοῦ τῶν ἀνθρώπων ἀθλητὰ κατέστησαν. [2])

[1]) προγίγνεσθαι. [2]) aor. 2. intrans. καθίστάναι.

2. Αἰακοῦ παῖδες ἦσαν Τέλαμών καὶ Πηλεύς, ὧν ὁ μὲν ἕτερος μετ' Ἡρακλέους ἐπὶ Λαομέδοντα [1]) ἐστρατεύσατο, Πηλεὺς δ' ἐν τῇ μάχῃ τῇ πρὸς Κενταύρους ἠρίστευσε. [2])

[1]) König von Troja (im ersten trojanischen Krieg). [2]) ἀριστεύειν.

3. Ἡρακλεῖ Εὐρυσθεὺς προσέταττε τάς τε βοῦς τὰς ἐκ τῆς Ἐρυθείας ἀγαγεῖν, καὶ τὰ μῆλα τὰ τῶν Ἑσπερίδων ἐνεγκεῖν [1]), καὶ τὸν Κέρβερον [2]) ἀναγαγεῖν, καὶ τοιούτους ἄλλους πόνους, ἐξ ὧν ἤμελλεν [3]) οὐ τοὺς ἄλλους ὠφελήσειν, ἀλλ' αὐτὸς κινδυνεύσειν.

[1]) φέρειν. [2]) aus der Unterwelt. [3]) μέλλειν (sollte).

4. Θησεὺς τὴν πολιν [1]) σποράδην καὶ κατὰ κώμας οἰκοῦσαν εἰς ταὐτὸ [2]) συνήγαγεν.

[1]) Athen. [2]) τὸ αὐτό, in Eins.

5. Τῷ τέρατι τῷ τραφέντι [1]) ἐν Κρήτῃ [2]) κατὰ μαντείαν θεσμὸν τῆς πόλεως Ἀθηναίων δὶς ἑπτὰ παῖδας ἀποστελλούσης [3]), Θησεὺς οὕτως ἠγανάκτησεν [4]), ὥσθ' ἡγήσατο κρεῖττον εἶναι τεθνάναι [5]) μᾶλλον ἢ ζῆν· καὶ τοὺς παῖδας διασώσας τοῖς γονεῦσιν ἀπέδωκε. [6])

[1]) τρέφειν. [2]) Dem Minotaurus. [3]) part. abs. ὅτε ἡ πόλις... ἀποστέλλει. [4]) ἀγανακτεῖν. [5]) θνήσκειν. [6]) ἀποδιδόναι.

6. Τὸν Οἰδίποδα φασιν εὐξασθαι, χαλκῷ [1]) διελέσθαι τὰ πατρῷα τοῖς υἱέσι [2])· ἐξὸν [3]) αὐτῷ τῶν παρόντων κα-

κῶν ἀποτρόπην τινὰ εὔξασθαι. ἕτερα πρὸς τοῖς ὑπαρχοῦσι κατηρᾶτο.[1]) Τοιγαροῦν ταῦτά τε ἐξετελέσθη καὶ ἐκ τούτων ἄλλα πολλὰ καὶ δεινά.

[1]) mit d. Schwerdt. διαιρεῖσθαι. [2]) Eteokles u. Polynikes. [4]) ὅτε ἐξῆν αὐτῷ, da er konnte. [5]) καταρᾶσθαι.

7. Ἄδραστος[1]) ἦλθεν[2]) Ἀθηναζε ἐκ τῆς στρατείας τῆς ἐπὶ Θήβας[3]) δεδυστυχηκὼς καὶ τοὺς ὑπὸ τῇ Καδμείᾳ[4]) τελευτήσαντας οὐ δυνάμενος ἀνελέσθαι.

[1]) König von Argos. [2]) ἔρχεσθαι. [3]) Die Sieben gegen Theben, um den vertriebenen Polynikes auf den Thron zu setzen. Das **Partic.** aufzulösen: nachdem er. — [4]) Die Burg von Theben, von Kadmos, ihrem Erbauer. — [5]) ἀναιρεῖσθαι.

8. Ἀθηναῖοι τὸ μὲν πρῶτον πέμψαντες κήρυκας ἐδέοντο Καδμείων δοῦναι τὴν τῶν νεκρῶν ἀναίρεσιν. οὐ δυνάμενοι δὲ τούτων τυχεῖν[1]) ἐστράτευσαν ἐπ' αὐτούς, τοὺς τεθνεῶτας[2]) ἐν τῷ πολέμῳ ἀξιοῦντες[3]) τῶν νομιζομένων[4]) τυγχάνειν.

[1]) τυγχάνειν. Aufgelöst: ἐπεὶ δὲ οὐκ ἐδύναντο. [2]) θνήσκειν. [3]) indem sie wollten (verlangten), daß — [4]) **Neutr.** die herkömmlichen Gebräuche (ein ehrliches Begräbniß).

9. Θησεὺς τοὺς Θηβαίους μαχῇ νικήσας Πελοποννησίους διέσωσεν καὶ Ἀδραστῷ τοὺς ὑπὸ τῇ Καδμείᾳ τελευτήσαντας βίᾳ[1]) Θηβαίων θάψαι παρέδωκε.

[1]) mit Zwang, d. h. wider Willen.

10. Μίνως παλαιτατος, ὧν[1]) ἀκοῇ ἴσμεν,[2]) ναυτικὸν ἐκτήσατο καὶ τῆς νῦν Ἑλληνικῆς θαλάσσης ἐπὶ πλεῖστον ἐκράτησε, καὶ τῶν Κυκλάδων νήσων ἦρξέ τε καὶ οἰκιστὴς πρῶτος τῶν πλείστων ἐγένετο.

[1]) Attraction st. τούτων, οὓς. [2]) εἰδέναι (οἶδα).

11. Ἀγαμέμνων ἔπεισε[1]) τοὺς βασιλεῖς κινδυνεύειν καὶ πολεμεῖν οὐχ ὑπὲρ τῆς σφετέρας αὐτῶν πατρίδος καὶ βασιλείας, ἀλλὰ λόγῳ μὲν ὑπὲρ Ἑλένης τῆς Μενέλεω γυναικός,

ἔργῳ δὲ ὑπὲρ τοῦ μὴ[2]) τὴν Ἑλλάδα πάσχειν ὑπὸ τῶν βαρβάρων τοιαῦτα.

[1]) πείθειν. [2]) damit nicht —.

12. Τελαμῶνος μὲν Αἴας καὶ Τεῦκρος ἐγενέσθην, Πηλέως δὲ Ἀχιλλεύς, οἱ μέγιστον καὶ σαφέστατον ἔλεγχον ἔδοσαν τῆς αὐτῶν ἀρετῆς.

13. Ἀχιλλεὺς παρὰ Θετίδος τῆς αὐτοῦ μητρὸς προακούσας, ὅτι μὴ μετελθὼν[1]) μὲν τοὺς ἐχθροὺς, ἀλλ' ἐάσας ἀτιμώρητον τὸν τοῦ Πατρόκλου θάνατον, ἐπανελθὼν[2]) οἴκαδε γήραιος ἐν τῇ αὐτοῦ πατρίδι ἀποθανεῖται, τιμωρησάμενος[3]) δὲ δια ταχέων[4]) μέλλει τὸν βίον τελευτᾶν, εἵλετο[5]) τὴν τοῦ τεθνεῶτος πίστιν μᾶλλον ἢ τὴν σωτηρίαν.

[1]) Bedingung: ἐὰν μὴ μετέλθῃ — ἀλλ' ἐάσῃ. S. μετέρχεσθαι. ἐᾶν. [2]) ἐπανελεύσεται οἴκαδε καὶ — zu ὅτι gehörig. S. ἐπανέρχεσθαι. [3]) Bedingung ἐὰν δὲ τιμωρήσηται [Kühner, Ausf. Gr. §. 847.] [4]) in Kurzem [5]) αἱρεῖσθαι, **med.**

14. Οἱ Ἡρακλέους παῖδες εὐτυχέστεροι ἐγένοντο τοῦ πατρός· ὁ μὲν[1]) γὰρ, καίπερ ὢν ἀγαθῶν πολλῶν αἴτιος ἅπασιν ἀνθρώποις, ἐπιπόνον καὶ φιλόνεικον καὶ φιλότιμον αὐτῷ καταστήσας τὸν βίον, τοὺς μὲν ἄλλους ἀδικοῦντας ἐκόλασεν, Εὐρυσθέα δ' ἐχθρὸν ὄντα οὐχ οἷός τ' ἦν[2]) τιμωρήσασθαι.

[1]) Er. [2]) = οὐκ ἐδύνατο.

15. Ἐκεῖνοι δὲ — ἀπεστερημένοι ὑπὸ Πελοποννησίων τῆς πατρῴας ἀρχῆς — κατῆλθον[1]) μὲν εἰς Πελοπόννησον, κατέσχον[2]) δ' Ἄργος καὶ Λακεδαίμονα καὶ Μεσσήνην, οἰκισταὶ δὲ Σπάρτης ἐγένοντο.

[1]) κατέρχεσθαι. [2]) κατέχειν.

16. Ὁ Λυκοῦργος ἐναντία τοῖς ἄλλοις Ἕλλησι[1]) κατέστησεν ἐν τῇ Σπάρτῃ νόμιμα. Τοῖς γὰρ ἐλευθέροις τῶν μὲν ἀμφὶ χρηματισμὸν[2]) ἀπεῖπε μηδενὸς ἅπτεσθαι· ὅσα δ'

ἐλευθερίαν ταῖς πόλεσι παρασκευάζει, ταῦτα ἑταῖρα νομα ἔργα αὐτῶν νομίζειν.

[1]) die entgegengeſetzten von denen der and. Gr. — [2]) Umſchreibung ſt. τοῖ χρηματισμοῖ.

17. Λυκοῦργος ἠνάγκασε δημοσίᾳ πάντας πάσας ἀσκεῖν τὰς ἀρετάς.

18. Λυκοῦργος οὐδὲν ἂν[1]) διάφορον τῶν ἄλλων πόλεων τὴν Σπάρτην ἐποίησεν, εἰ μὴ τὸ πείθεσθαι τοῖς νόμοις μάλιστα ἐνειργάσατο αὐτῇ.

[1]) Zum Verbum „hätte gemacht"; οὐδέν, adv. „um Nichts"

19. Ὁ Λυκοῦργος, τὸ αἰδεῖσθαι ἰσχυρῶς ἐμφῦσαι βουλόμενος τοῖς ἀνδράσιν, καὶ ἐν ταῖς ὁδοῖς ἐπέταξεν ἐντὸς μὲν τοῦ ἱματίου τὼ χεῖρε ἔχειν, σιγῇ δὲ πορεύεσθαι, περιβλέπειν δὲ μηδαμοῦ.

20. Λυκοῦργος οὐ πρότερον ἀπέδωκε τῷ πλήθει τοὺς νόμους, πρὶν ἐλθὼν σὺν τοῖς κρατίστοις εἰς Δελφοὺς ἐπήρετο[1]) τὸν θεόν, εἰ λῷον καὶ ἄμεινον εἴη τῇ Σπάρτῃ πειθομένῃ[2]) οἷς[3]) αὐτὸς ἔθηκε νόμοις.

[1]) ἐπηρωτᾶν. [2]) = πείθεσθαι. [3]) τούτοις, οἷς — νόμοις.

21. Ἀθηναίων οἱ φρονιμώτατοι, συνορῶντες τὸν Σόλωνα μόνον μάλιστα τῶν ἁμαρτημάτων ἐκτὸς ὄντα[1]) καὶ μήτε τοῖς πλουσίοις κοινωνοῦντα ἀδικίας, μήτε ταῖς τῶν πενήτων ἀνάγκαις ἐνεχόμενον, ἐδέοντο, τοῖς κοινοῖς προσελθεῖν καὶ καταπαῦσαι τὰς διαφοράς.

[1]) daß er fern ſei von —.

22. Ὁ Σόλων, ὁ τῶν νομοθετῶν ἐνδοξότατος, ἀπεδήμησεν ἔτη δέκα, ἵνα δὴ μή τινα τῶν νόμων ἀναγκασθῇ λῦσαι, ὧν ἔθετο· τῆς δὲ θεωρίας ἕνεκεν ἐς Αἴγυπτον ἀφίκετο παρὰ Ἄμασιν καὶ ἐς Σάρδεις παρὰ Κροῖσον.

23. Σόλων τοὺς διδασκάλους τὰ διδασκαλεῖα καὶ τοὺς παιδοτρίβας τὰς παλαίστρας ἀνοίγειν μὲν ἀπαγορεύει μὴ[1]) πρότερον, πρὶν ἂν ὁ ἥλιος ἀνίσχῃ, κλείειν δὲ προστάττει

πρὸ ἡλίου δεδυκότος[1]), τὰς ἐρημίας καὶ τὸ σκότος ἐν πλείστῃ ὑποψίᾳ ποιούμενος.

[1]) pleonaſtiſch nach verb. des Verbietens. [1]) δύνειν.

24. Ἱππαρχος τὰ Ὁμήρου ἔτι πρῶτος ἐκόμισεν εἰς τὴν Ἑλλάδα καὶ ἠνάγκασε τοὺς ῥαψῳδοὺς Παναθηναίοις[1]) ἐξ ὑπολήψεως[2]) αὐτὰ διένειν.

[1]) am Feſte der Panathenäen. [2]) Einer nach dem Andern ein Stück (einander ablöſend).

25. Τυραννεύσας ἔτη τρία Ἱππίας Ἀθηναίων καὶ παυσάμενος ἐν τῷ τετάρτῳ ὑπὸ Λακεδαιμονίων καὶ Ἀλκμαιωνιδῶν[1]) τῶν φευγόντων ἐχώρει ὑπόσπονδος ἐς Σίγειον.

[1]) Ein edles Geſchlecht, aus Athen vertrieben (φεύγοντες).

26. Κλεισθένης ἐκπεσὼν[1]) ἐκ τῆς πόλεως ὑπὸ τῶν τυράννων, λόγῳ πείσας τοὺς Ἀμφικτύονας δανεῖσαι τῶν τοῦ θεοῦ χρημάτων[2]) αὐτῷ, τόν τε δῆμον[3]) κατήγαγε καὶ τοὺς τυράννους ἐξέβαλε καὶ τὴν δημοκρατίαν ἐκείνην κατέστησε, τὴν αἰτίαν τοῖς Ἕλλησι τῶν μεγίστων ἀγαθῶν γενομένην.

[1]) ἐκπίπτειν. [2]) von den Schätzen in Delphi. [3]) die Volksverſammlung.

27. Μετὰ τὴν τῶν τυράννων κατάλυσιν ἐκ τῆς Ἑλλάδος οὐ πολλοῖς ἔτεσιν ὕστερον καὶ ἡ ἐν Μαραθῶνι μάχη Μήδων[1]) πρὸς Ἀθηναίους ἐγένετο.

[1]) die Perſer.

28. Δαρεῖος πεζῇ μὲν μέχρι Σκυθῶν τὴν ἀρχὴν ὡρίσατο, ναυσὶ δὲ τῆς τε θαλάττης ἐκράτει καὶ τῶν νήσων, ὥστε μηδὲ ἀξιοῦν[1]) ἀντίπαλον αὐτῷ μηδένα εἶναι.

[1]) ὥστε μηδένα ἀξιοῖν, ſo daß Niemand mehr wollte.

29. Ἀποβάντων[1]) τῶν Περσῶν εἰς τὴν Ἀττικὴν οἱ Ἀθηναῖοι οὐ περιέμειναν τοὺς συμμάχους, ἀλλὰ τὸν κοινὸν πόλεμον ἴδιον ποιησάμενοι πρὸς τοὺς ἁπάσης τῆς Ἑλλάδος καταφρονήσαντας ἀπήντων[2]), ὀλίγοι πρὸς πολλὰς μυριάδας, καὶ μάχῃ νικήσαντες τρόπαιον ἔστησαν τῶν πολεμίων.

[1]) ἀποβαίνειν, part. abs. [2]) ἀπαντᾶν.

30. Ἐν τῇ στοᾷ τῇ ποικίλῃ ἡ ἐν Μαραθῶνι μάχη γέγραπται, τὸ δὲ τοῦ Μιλτιάδου ὄνομα οὐκ ἐπιγέγραπται· ὁ γὰρ δῆμος ἀντὶ τοῦ ὀνόματος συνεχώρησεν αὐτῷ πρώτῳ [1]) γραφῆναι παρακαλοῦντι [2]) τοὺς στρατιώτας.

[1]) zuvorderst. [2]) ὡς παρεκάλει.

31. Μετὰ δὲ ταῦτα γενομένης τῆς ὕστερον στρατείας, ἣν αὐτὸς Ξέρξης ἤγαγεν, αὖθις ἀπήντων, Λακεδαιμόνιοι μὲν εἰς Θερμοπύλας πρὸς τὸ πεζόν, χιλίους αὐτῶν ἐπιλέξαντες καὶ τῶν συμμάχων ὀλίγους παραλαβόντες, ὡς ἐν τοῖς στενοῖς κωλύσοντες [1]) αὐτοὺς περαιτέρω προελθεῖν· Ἀθηναῖοι δὲ ἐπ' Ἀρτεμίσιον, ἑξήκοντα τριήρεις πληρώσαντες πρὸς ἅπαν τὸ τῶν πολεμίων ναυτικόν.

[1]) um sie . . zu . .

32. Ξέρξης ὁ τῆς Ἀσίας βασιλεὺς χιλίαις μὲν καὶ διακοσίαις ναυσὶν ἀφίκετο εἰς τὴν Ἑλλάδα, τῆς δὲ πεζῆς στρατιᾶς οὕτως ἄπειρον τὸ πλῆθος ἦγεν, ὥστε καὶ τὰ ἔθνη τὰ μετ' αὐτοῦ ἀκολουθήσαντα πολὺ ἂν ἔργον εἴη καταλέξαι.

33. Τὴν συμφορὰν τὴν Σπαρτιάταις ἐν Θερμοπύλαις γενομένην ἅπαντες, ὅσοιπερ ἀκηκόασιν [1]), ἐπαινοῦσι καὶ θαυμάζουσιν.

[1]) ἀκούειν.

34. Οἱ Ἀθηναῖοι ἐπειδὴ ἤκουσαν τῆς παρόδου τοὺς Πέρσας κρατοῦντας, οἴκαδε καταπλεύσαντες [1]) οὕτως ἐβουλεύσαντο περὶ τῶν λοιπῶν, ὥστε ἐν τοῖς τελευταίοις τῶν κινδύνων ἔτι πλέον διήνεγκαν [2])

[1]) von Artemisium. [2]) διαφέρειν.

35. Οἱ Ἀθηναῖοι ἡγησάμενοι κρεῖττον εἶναι μετ' ἀρετῆς καὶ πενίας καὶ φυγῆς ἐλευθερίαν, ἢ μετ' ὀνείδους καὶ πλούτου δουλείαν τῆς πατρίδος, ἐξέλιπον ὑπὲρ τῆς Ἑλλάδος τὴν πόλιν, ὑπεκθέμενοι δὲ [1]) παῖδας καὶ γυναῖκας καὶ μητέρας εἰς Σαλαμῖνα, συνήθροιζον καὶ τὸ τῶν ἄλλων συμμάχων ναυτικόν.

[1]) nachdem sie aber — ὑπεκτίθεσθαι.

36. Οἱ Ἀθηναῖοι ἐν τῇ ἐν Σαλαμῖνι μάχῃ τρία τὰ ὠφελιμώτατα παρεσχοντο, ἀριθμόν τε νεῶν πλεῖστον καὶ ἄνδρα στρατηγὸν ξυνετώτατον (Θεμιστοκλέα) καὶ προθυμίαν ἀοκνοτάτην.

37. Ἡ τῶν ἐν Σαλαμῖνι τεθνηκότων ἀνδρῶν ἀρετὴ τῆς Ἑλλάδος ἦν ψυχή.

38. Τρίτον λέγω τὸ ἐν Πλαταιαῖς ἔργον καὶ ἀριθμῷ καὶ ἀρετῇ γενέσθαι τῆς Ἑλληνικῆς σωτηρίας, κοινὸν ἤδη τοῦτο Λακεδαιμονίων τε καὶ Ἀθηναίων.

39. Τὸ μὲν ἐν Πλαταιαῖς πρωὶ ἔτι τῆς ἡμέρας ἐγίνετο, τὸ δ' ἐν Μυκάλῃ περὶ δείλην. Ἡγεῖτο δὲ τῶν ἐν Μυκάλῃ Ἑλλήνων Λεωτυχίδης ὁ βασιλεὺς τῶν Λακεδαιμονίων.

40. Ἀθηναίων τὸ κοινόν, ἐπειδὴ αὐτοῖς οἱ βάρβαροι ἐκ τῆς χώρας ἀπῆλθον, τὴν πόλιν ἀνοικοδομεῖν παρεσκευάζοντο καὶ τὰ τείχη.

41. Παρέλαβον οἱ Ἀθηναῖοι τὴν ἡγεμονίαν ἑκόντων τῶν ξυμμάχων, διὰ τὸ Παυσανίου μῖσος.

Οἱ δὲ Λακεδαιμόνιοι Παυσανίαν τὸν αὐτῶν βασιλέα, προδιδόντα τῷ Πέρσῃ τὴν Ἑλλάδα, λαβόντες λιμῷ ἀπέκτειναν.

42. Θεμιστοκλῆς καὶ Ἀριστείδης οὐκ ᾤοντο [1]) δεῖν ἐν τοῖς γράμμασι τιμᾶσθαι, ἀλλ' ἐν τῇ μνήμῃ τῶν εὖ πεπονθότων, [2]) ἣ ἀπ' ἐκείνου τοῦ χρόνου μέχρι τῆσδε τῆς ἡμέρας ἀθάνατος οὖσα μένει.

[1]) οἴεσθαι. [2]) πάσχειν.

43. Ὁ Θεμιστοκλῆς ἐξωστρακισμένος [1]) ἐσπέμπει γράμματα ὡς [2]) βασιλέα Ἀρταξέρξην τὸν Ξέρξου, νεωστὶ βασιλεύοντα. Ἐδήλου δὲ ἡ γραφή· ὅτι [3]) Θεμιστοκλῆς ἥκω παρὰ σέ, ὃς κακὰ μὲν πλεῖστα Ἑλλήνων [4]) εἴργασμαι τὸν ὑμέτερον οἶκον, πολὺ δ' ἔτι πλείω ἀγαθά. [5])

[1]) Er war des Einverständnisses mit den Persern beschuldigt, wie Pausanias. Ἐξοστρακίζειν. [2]) = πρὸς —. [3]) pleonastisch

(= namlich). [4]) unter d. G. [5]) daß er namlich den Xerres noch zu rechter Zeit gewarnt habe, ehe ihm der Rückzug (angeblich) abgeschnitten wurde.

44. *Οἱ Πεισιστρατίδαι, ὡς ἐπὴν τῆς Ἑλλάδος αὐτοὺς κατεστασιάκησε, τῶν μεγίστων δώρων ἤξιωσαν.* [1])

[1]) ἀξιοῖν.

45. *Λέγε μοι περὶ Κίμωνος· Οὐκ ἐξωστράκισαν αὐτὸν οὗτοι, οὓς* [1]) *ἐθεράπευεν* [2])*, ἵνα αὐτὸν δέκα ἐτῶν μὴ ἀκούσειεν τῆς φωνῆς;*

[1]) Die Partei des Perikles. [2]) Durch seine Freigebigkeit.

46. *Μεταξὺ τῆς τε Ξέρξου ἀναχωρήσεως καὶ τῆς ἀρχῆς τοῦ Πελοποννησιακοῦ πολέμου οἱ Ἀθηναῖοι ἐπὶ μεγα ἐχώρησαν δυνάμεως.*

47. *Πρῶτον μὲν Ἠιόνα τὴν ἐπὶ Στρυμόνι, Μήδων ἐχόντων* [1])*, πολιορκίᾳ εἷλον* [2]) *καὶ ἠνδραποδίσαν, Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος* [3])*· ἔπειτα δὲ πολλὰς τῶν ἐν τῷ Αἰγαίῳ* [4]) *νήσων.*

[1]) ἦν Μῆδοι ἔχων. [2]) αἱρεῖν. [3]) Unter Anführung. [4]) sc. πόντῳ.

48. *Ἐγένετο δὲ μετὰ ταῦτα καὶ ἡ ἐπ' Εὐρυμέδοντι ποταμῷ ἐν Παμφυλίᾳ πεζομαχία καὶ ναυμαχία Ἀθηναίων καὶ τῶν ξυμμάχων πρὸς Μήδους, καὶ ἐνίκων τῇ αὐτῇ ἡμέρᾳ ἀμφοτέρᾳ* [1]) *Ἀθηναῖοι, Κίμωνος τοῦ Μιλτιάδου στρατηγοῦντος.*

[1]) in beiden; acc. pl. neutr.

49. *Οἱ Ἀθηναῖοι Ἠιόνα εἶχον ἐπὶ τῷ στόματι τοῦ Στρυμόνος, καὶ ἡ Μακεδονία ἦν ἐπ' αὐτοῖς καὶ φόρους ἔφερε.*

50. *Κερκυραῖοι, ἄποικοι τῶν Κορινθίων ὄντες, ἀφεστᾶσί* [1]) *τε διὰ παντὸς καὶ πολεμοῦσι λέγοντες, ὡς οὐκ ἐπὶ τῷ* [2]) *κακῶς πάσχειν ἐκπεμφθείησαν. Κορίνθιοι δὲ οὐδ' αὐτοὶ φασιν ἐπὶ τῷ ὑπὸ τούτων ὑβρίζεσθαι κατοικίσαι, ἀλλ' ἐπὶ τῷ ἡγεμόνες τε εἶναι καὶ τὰ εἰκότα* [3]) *θαυμάζεσθαι.*

[1]) ἀφιστάναι. [2]) um zu — [3]) accus. graec. ὡς εἰκὸς ἦν: die gebührende Achtung zu genießen.

51. *Ποτιδαιᾶται, ἐπειδὴ τὰ τέλη τῶν Λακεδαιμονίων ἐπεσχέθη* [1]) *αὐτοῖς, ἦν ἐπὶ Ποτίδαιαν ἴωσιν Ἀθηναῖοι, ἐκ τῆς Ἀττικῆς ἐξβαλεῖν, ἀφίστανται μετὰ Χαλκιδέων καὶ Βοττιαίων κοινῇ ξυνομοσαντες.*

[1]) ὑπισχνεῖσθαι.

52. *Μετὰ τῆς Ποτιδαίας τὴν ἐποτειχισιν Φορμίων τὴν Χαλκιδικὴν καὶ Βοττικὴν εἷλον καὶ ἔστιν ἃ* [1]) *καὶ πολίσματα εἶλεν.* [2])

[1]) ἕνια. [2]) αἱρεῖν.

53. *Προαδόντες* [1]) *οἱ Θηβαῖοι, ὅτι ἔσοιτο πόλεμος, ἐβοσκοντο τὴν Πλάταιαν, ἀεὶ σφίσι διάφορον οὖσαν, ἔτι ἐν εἰρήνῃ τε καὶ τοῦ πολέμου μήπω φανεροῦ καθεστῶτος* [2]) *προκαταλαβεῖν· ἦ καὶ ῥᾷον εἵλοθον* [3]) *ἐξελθόντες, φυλακῆς οὐ προκαθεστηκυίας.* [4])

[1]) προορᾶν. [2]) καθιστάναι. [3]) λανθάνειν. [4]) προκαθιστ.

54. *Θηβαίων ἄνδρες ὀλίγῳ πλείους τριακοσίων ἐσῆλθον περὶ πρῶτον ὕπνον σὺν ὅπλοις ἐς Πλάταιαν, οὖσαν Ἀθηναίων ξυμμαχίδα.*

55. *Γενομένου τοῦ ἐν Πλαταιαῖς ἔργου οἱ Ἀθηναῖοι παρεσκευάζοντο ὡς πολεμήσοντες* [1])*. Παρεσκευάζοντο δὲ καὶ οἱ Λακεδαιμόνιοι καὶ οἱ ξύμμαχοι αὐτῶν.*

[1]) = εἰς πόλεμον.

56. *Περικλῆς, ὁ Ξανθίππου, ἀνὴρ ἦν κατ' ἐκεῖνον τὸν χρόνον πρῶτος Ἀθηναίων, λέγειν τε καὶ πράττειν δυνατώτατος.*

57. *Ἤκουσα, ὅτι Περικλῆς πολλὰς ἐρῴδας ἐπίσαιτο, ὃς ἐπᾴδων τῇ πόλει ἐποίει αὐτὴν φιλεῖν αὐτόν.*

58. *Ὁ Περικλῆς (Σωκράτης φησὶν) οὐ μόνον ἐν τῇδε τῇ πόλει δύναται πράττειν, ὅτι ἂν βούληται, ἀλλ' ἐν πάσῃ τῇ Ἑλλάδι καὶ τῶν βαρβάρων ἐν πολλοῖς καὶ μεγάλοις γένεσι.* [1])

[1]) = ἔθνεσι.

59. Οἱ Ἀθηναῖοι Περικλεῖ ἀνεπείθοντό τε καὶ ἐξεκομίζοντο ἐκ τῶν ἀγρῶν παῖδας καὶ γυναῖκας καὶ τὴν ἄλλην κατασκευήν, ᾗ κατ' οἶκον ἐχρῶντο· πρόβατα δὲ καὶ ὑποζύγια ἐς τὸν Εὔβοιαν διεπεμψάντο καὶ ἐς τὰς νήσους τὰς ἐπικειμένας.

60. Οἱ Ἀθηναῖοι κυβερνήτας εἶχον καὶ τὴν ἄλλην ὑπηρεσίαν πλείους καὶ ἀμείνους ἢ ἅπασα ἡ ἄλλη Ἑλλάς.

61. Χίλια τάλαντα ἀπὸ τῶν ἐν ἀκροπόλει χρημάτων ἔδοξε τοῖς Ἀθηναίοις ἐξαίρετα ποιησαμένοις [1]) χωρὶς θέσθαι [2]) καὶ μὴ ἀναλοῦν, ἀλλ' ἀπὸ τῶν ἄλλων πολεμεῖν.

[1]) Attraction st. — ους. [2]) εἰθέναι.

62. Οἱ Λακεδαιμόνιοι μετὰ τὰ ἐν Πλαταιᾷ γενόμενα ἡμέρᾳ ὀγδοηκοστῇ μάλιστα τοῦ θέρους καὶ τοῦ σίτου ἀκμάζοντος ἐσέβαλον ἐς τὴν Ἀττικήν.

63. Οἱ Πελοποννήσιοι, ὡς ἐκαθέζοντο ἐν Οἰνόῃ, προσβολὰς παρεσκευάζοντο τῷ τείχει ποιησόμενοι [1]) μηχαναῖς τε καὶ ἄλλῳ τρόπῳ.

[1]) Absicht: um Angriffe auf — — — zu machen.

64. Λοιμοῦ γενομένου ἐν Ἀθήναις ἡ διεφθείροντο οἱ πλεῖστοι ἐννατεῖοι καὶ ἑβδομαῖοι ὑπὸ τοῦ ἐντὸς [1]) καύματος, ἢ, εἰ διαφύγοιεν, οἱ πολλοὶ ὕστερον ἀσθενείᾳ ἀπεφθείροντο.

[1]) Adv. mit dem Artikel als Adject.

65. Ξύμμαχοι ἐγενόμεθα, οἱ Μυτιληναῖοι ἔφασαν, οὐκ ἐπὶ καταδουλώσει τῶν Ἑλλήνων Ἀθηναίοις, ἀλλ' ἐπ' ἐλευθερώσει ἀπὸ τοῦ Μήδου τοῖς Ἕλλησι.

66. Κλέων, ὢν καὶ ἐς τὰ ἄλλα βιαιότατος τῶν πολιτῶν τῷ τε δήμῳ παρὰ πολὺ ἐν τῷ τότε [1]) πιθανώτατος, ἐνικήκει [2]) τὴν γνώμην, ὥστε ἀποκτεῖναι [3]) τοὺς ἅπαντας Μυτιληναίους, ὅσοι ἡβῶσι.

[1]) Χρόνῳ. [2]) Hatte durchgesetzt; der Beschluß wurde aber zurückgenommen. [3]) daß man sollte.

67. Ὡς ἠγγέλθη τὰ γεγενημένα περὶ Πύλον [1]) ἔδοξε τοῖς Σπαρτιάταις, ὡς ἐπὶ ξυμφορᾷ μεγάλῃ τὰ τέλη [2]) καταβάντας ἐς τὸ στρατόπεδον βουλεύειν παραχρῆμα ὁρῶντας, [3]) ὅτι ἂν δοκῇ.

[1]) Die Stadt Pylos (alt Navarino) war von Demosthenes erobert und das spartanische Heer eingeschlossen. [2]) die höchsten Staatsbeamten. [3]) καταβῆναι, ὁρᾶν καὶ βουλεύειν . . .

68. Τὴν μὲν Ἀμφίπολιν [1]) ὁ Βρασίδας ἄρτι εἶχε, τὴν δὲ Πίονα παρὰ νύκτα ἐγένετο [2]) λαβεῖν.

[1]) Eine Kolonie der Athener in Macedonien, wohin der lakedämonische Feldherr Brasidas den Krieg verlegt hatte. [2]) es kam auf eine Nacht an.

69. Ὁ Βρασίδας, ἐξελθὼν καὶ δρόμῳ προσβαλὼν τοῖς Ἀθηναίοις πεφοβημένοις, αὐτὸς μὲν τιτρώσκεται, καὶ πεσόντα [1]) αὐτὸν οἱ πλησίον ἄραντες [2]) ἀπήνεγκαν· ὁ δὲ Κλέων εὐθὺς φεύγων καὶ καταληφθεὶς [3]) ἀποθνήσκει.

[1]) πίπτειν. [2]) αἴρειν. [3]) καταλαμβάνειν.

70. Οἱ δὲ τὸν Βρασίδαν ἄραντες ἐκ τῆς μάχης καὶ διαβώσαντες ἐς τὴν πόλιν ἔτι ἔμπνουν ἐξεκόμισαν· καὶ ᾔσθετο [1]) μὲν, ὅτι νικῶσιν οἱ μεθ' αὐτοῦ, οὐ πολὺ δὲ διαλιπὼν [2]) ἐτελεύτησεν.

[1]) αἰσθόν. [2]) Nach einer kleinen Weile.

71. Τὸν Βρασίδαν οἱ ξύμμαχοι πάντες σὺν ὅπλοις ἐπισπόμενοι [1]) δημοσίᾳ ἔθαψαν, καὶ οἱ Ἀμφιπολῖται περιεῖρξάν τε αὐτοῦ τὸ μνημεῖον ὡς ἡρῴ, καὶ τὴν ἀποικίαν ὡς οἰκιστῇ προσέθεσαν. [2])

[1]) ἐφέπεσθαι. [2]) προστιθέναι.

72. Μετὰ ταῦτα ἐγένοντο ὅρκοι καὶ ξυμμαχία Ἀθηναίοις καὶ Λακεδαιμονίοις κατὰ τάδε· ἤν τινες ἴωσιν ἐς τὴν γῆν πολέμιοι τὴν Λακεδαιμονίων καὶ κακῶς ποιῶσιν αὐτούς, ὠφελεῖν Ἀθηναίους Λακεδαιμονίους τρόπῳ ὁποίῳ ἂν δύνωνται ἰσχυροτάτῳ.

[1]) ἰέναι.

73. *Ἐπὶ ἔξ ἐτη καὶ δεκα μῆνας ἀπεσχοντο, μὴ ἐπὶ τὴν ἑκατέρων χώραν στρατεῖσαι, ἐξῶθεν δὲ μετ' ἀνακωχῆς οὐ βεβαιου ἐβλαπτον ἀλλήλους τὰ μάλιστα.*

74. *Ὁρῶντες δὲ Ἀθηναῖοι οὐδὲν ἐργῳ γιγνόμενον, ὧν ἔρητο [1]) ἐν ταῖς σπονδαῖς, οὔτε Πύλον ἀπεδιδοσαν, τά τε ἄλλα χωρια εἶχον, μενοντες ἕως σφίσι καὶ οἱ Λακεδαιμόνιοι ποιήσειαν τὰ εἰρημένα.*

[1]) ῥηθέν.

75. *Ἀλκιβιαδης ἐπετροπεύθη ὑπὸ Περικλέους, ὃν πάντες ἂν ὁμολογήσειαν [1]) καὶ σωφρονέστατον καὶ δικαιότατον καὶ σοφώτατον γενέσθαι τῶν πολιτῶν.*

[1]) wohl alle dürften . . .

76. *Σωκράτει ὁμιλητὰ γενομενω Κριτίας τε καὶ Ἀλκιβιάδης πλεῖστα κακὰ τὴν πολιν ἐποιησάτην. Κριτιας μὲν γὰρ τῶν ἐν τῇ ὀλιγαρχίᾳ [1]) πάντων πλεονεκτικώτατός τε καὶ βιαιότατος ἐγένετο, Ἀλκιβιάδης δὲ αὖ τῶν ἐν τῇ δημοκρατίᾳ πάντων ἀκρατέστατός τε καὶ ὑβριστότατος.*

[1]) der 30 Tyrannen.

77. *Οἱ Ἀθηναῖοι ἐνωμισαντο ναῦς ἑξήκοντα πέμπειν ἐς Σικελιαν (ἄπειροι οἱ πολλοὶ ὄντες τοῦ μεγέθους τῆς νήσου καὶ τῶν ἐνοικούντων τοῦ πλήθους καὶ Ἑλλήνων καὶ βαρβάρων) καὶ στρατηγοὺς αὐτοκράτορας Ἀλκιβιάδην καὶ Νικίαν καὶ Λάμαχον.*

78. *Μέγιστον καὶ ἐν τοῖς πρῶτον ἐκάκωσε τὸ στράτευμα τὸ Ἀθηναίων ἡ τοῦ Ἡλιμαυρίου [1]) λῆψις.*

[1]) Ein Vorgebirg in Sicilien.

79. *Ὁ δὲ Ἀλκιβιάδης ἤδη φυγας ὢν οὐ πολυ ὑστερον κτεραιώθη ἐς Πελοπόννησον· οἱ δ' Ἀθηναῖοι θάνατον κατέγνωσαν [1]) αὐτοῦ τε καὶ τῶν μετ' ἐκεῖνον.*

[1]) καταγιγνώσκειν.

80. *Ἐκεῖνος δὲ παρώξυνε τοὺς Λακεδαιμονίους καὶ παρώρμησε τειχίζειν Δεκέλειαν τῆς Ἀττικῆς, ὅπερ Ἀθηναῖοι μάλιστα ἐφοβοῦντο.*

81. *Οἱ Συρακόσιοι τῇ μαχῃ κρατήσαντες τοὺς μὲν ἄλλους Ἀθηναίους καὶ τῶν ξυμμάχων ὁπόσους ἔλαβον κατεξήρασαν ἐς τὰς λιθοτομιας, ἀσφαλεστάτην εἶναι νομίσαντες τήρησιν, Νικίαν δὲ καὶ Δημοσθένην ἄκοντος τοῦ Γύλιππου ἀπέσφαξαν. [1])*

[1]) ἀποσφάττειν.

82. *Ἐς δὲ τὰς Ἀθήνας ἐπειδὴ ἠγγελθη, στερόμενοι καὶ ἰδιᾳ ἕκαστος καὶ ἡ πολις ὁπλιτῶν τε πολλῶν καὶ ἱππεων καὶ ἡλικίας, οἵαν οὐχ ἑτέραν ἑώρων [1]) ὑπάρχουσαν, ἐθαρρυνοντο· ἅμα δὲ ναῦς οὐχ ὁρῶντες ἐν τοῖς νεωσοίκοις ἱκανὰς οὐδὲ χρήματα ἐν τῷ κοινῷ, ἀνελπιστοι ἦσαν ἐν τῷ παρόντι [2]) σωθήσεσθαι. [3])*

[1]) ὁρᾶν. [2]) παρεῖναι. [3]) σώζειν.

83. *Τοῖς δ' Ἀθηναίοις ὡς ἦλθε τα περὶ τὴν Εὔβοιαν [1]) γεγενημένα, ἔκπληξις μεγίστη δὴ τῶν πρὶν [2]) παρέστη· οὔτε γὰρ ἡ ἐν Σικελίᾳ ξυμφορὰ, καίπερ μεγάλη τοτε δόξασα εἶναι, οὔτ' ἄλλο οὐδὲν πω οὕτως ἐφόβησε.*

[1]) Die Lakedämonier hatten dort eine atheniſche Flotte von 36 Schiffen beſiegt, und ſofort ganz Euböa zum Abfall gebracht. [2]) unter allen früheren.

84. *Ὁ Ἀλκιβιάδης κατέπλευσεν ἐς τον Πειραιᾶ ἡμέρᾳ ᾗ Πλυντήρια [1]) ἦγεν ἡ πόλις· καταπλέοντος δ' αὐτοῦ ὅ τε ἐκ τοῦ λιμένος καὶ ὁ ἐκ τοῦ ἄστεος ὄχλος ἠθροίσθη [2]) πρὸς τὰς ναῦς, θαυμάζοντες καὶ ἰδεῖν βουλόμενοι τὸν Ἀλκιβιάδην, λέγοντες, ὡς κράτιστος εἴη τῶν πολιτῶν.*

[1]) Ein Feſt, an welchem die Bildſäule der Athene gewaſchen (πλύνω) und daher der Zugang zu ihr verſchloſſen wurde. Der Tag galt als unglücklich. [2]) ἀθροίζειν.

85. *Ἀλκιβιάδης μετὰ τὸν κατάπλουν τρίτῳ μηνὶ ἀνήχθη [1]) ἐπ' Ἄνδρον, ἀφεστηκυῖαν τῶν Ἀθηναίων. Τρεψάμενος δὲ τοὺς Ἀνδρίους τρόπαιόν τε ἔστησε καὶ μείνας αὐτοῦ ὀλίγας ἡμέρας ἔπλευσεν ἐς Σάμον, κἀκεῖθεν [2]) ὁρμώμενος ἐπολέμει.*

[1]) ἀνάγειν. [2]) καὶ ἐκεῖθεν.

86. Ἄποντος δὲ Ἀλκιβιάδου ἐναυμαχήσαν ὁ μὲν Λύσανδρος ἐν τάξει οἱ δὲ Ἀθηναῖοι διεσπαρμέναις[1]) ταῖς ναυσί, μέχρις οὗ ἔφυγον, ἀπολέσαντες[2]) πεντεκαίδεκα τριήρεις. Οἱ δ' ἐν οἴκῳ Ἀθηναῖοι, ἐπειδὴ ἠγγέλθη ἡ ναυμαχία, χαλεπῶς εἶχον τῷ Ἀλκιβιάδῃ, οἰόμενοι δι' ἀμέλειάν τε καὶ ἀκράτειαν ἀπολωλέκεναι[3]) τὰς ναῦς, καὶ στρατηγοὺς εἵλοντο[4]) ἄλλους δέκα.

[1]) διασπείρειν. [2]) ἀπολλύναι. [3]) αἱρεῖν.

87. Ἀλκιβιάδης μὲν οὖν λαβὼν τριήρη μίαν ἀπέπλευσεν ἐς Χερρόνησον, ἐς τὰ ἑαυτοῦ τείχη. Οἱ δ' Ἀθηναῖοι ἔπλευσαν ἐς Αἰγὸς ποταμοὺς[1]) ἀντίον τῆς Λαμψάκου. Λύσανδρος δὲ, διασκεδασμένων τῶν ἀνθρώπων ὄντων, τὰς ναῦς πάσας ἔλαβε πρὸς τῇ γῇ· τοὺς δὲ πλείστους ἄνδρας ἐν τῇ γῇ ξυνέλεξε καὶ πάντα ἐς Λάμψακον ἀπήγαγε.

[1]) Ein Flußchen im thrazischen Chersones.

88. Μετὰ δὲ τοῦτο ὡρμίσατο (Λύσανδρος) πρὸς τὸν Πειραιᾶ ναυσὶ πεντήκοντα καὶ ἑκατόν, καὶ τὰ πλοῖα[1]) εἶργε τοῦ εἰσπλοῦ.

[1]) die Zufuhr.

89. Λακεδαιμόνιοι οὐκ ἔφασαν[1]) πόλιν Ἑλληνίδα ἀνδραποδιεῖν, μέγα ἀγαθὸν ἐν τοῖς μεγίστοις κινδύνοις[2]) γενομένην τῇ Ἑλλάδι· ἀλλ' ἐποιοῦντο εἰρήνην.

[1]) erklärten sich dagegen. [2]) den Perserkriegen.

90. Οἱ Τριακοῦτα ᾑρέθησαν[1]), ἐπεὶ τάχιστα[2]) τὰ μακρὰ τείχη καὶ τὰ περὶ τὸν Πειραιᾶ καθῃρέθησαν.[3])

[1]) αἱρεῖν. [2]) sobald. [3]) καθαιρεῖν.

91. Οἱ λ' αἱρεθέντες, ἐφ' ᾧ τε[1]) ξυγγράψαι νόμους, καθ' οὓς τινὰς πολιτεύσοιντο οἱ Ἀθηναῖοι, τούτους μὲν ἀεὶ ἔμελλον[2]) ξυγγράφειν, βουλὴν δὲ καὶ ἄλλας ἀρχὰς κατέστησαν, ὡς ἐδόκει αὐτοῖς.

[1]) zu dem Zweck, daß sie — st. ἐπὶ τούτῳ, ὥστε — [2]) zögerten.

92. Οἱ λ' πέμψαντες ἐς Λακεδαίμονα ἔπεισαν Λύσανδρον, φρουροὺς σφίσι ξυμπρᾶξαι[1]) ἐλθεῖν, ἕως δὴ τοὺς

πονηροὺς ἐκποδὼν ποιησάμενοι καταστήσαιντο τὴν πολιτείαν.

[1]) auszuwirken, daß — kommen.

93. Οἱ λ', οὐκέτι νομίζοντες ἀσφαλῆ σφίσι τὰ πράγματα, ἐβουλήθησαν Ἐλευσῖνα ἐξιδιώσασθαι, ὥστε εἶναι σφίσι καταφυγήν, εἰ δεήσοι.

94. Ἐκ δὲ τούτου λαβὼν ὁ Θρασύβουλος τοὺς ἀπὸ Φυλῆς[1]) περὶ χιλίους ἤδη ξυνειλεγμένους[2]) ἀφικνεῖται ἐς τὸν Πειραιᾶ.

[1]) ein Flecken in Attika. [2]) die verbannten Athener. S. συλλέγειν.

95. Οἱ ἔφοροι[1]) ἐξέπεμψαν πεντεκαίδεκα ἄνδρας ἐς τὰς Ἀθήνας καὶ ἐπέταξαν διαλλάξαι, ὅπῃ δύναιντο κάλλιστα. Τούτων δὲ περανθέντων[2]), οἱ ἐκ τοῦ Πειραιῶς[3]) ἀνελθόντες ξὺν τοῖς ὅπλοις ἐς τὴν ἀκρόπολιν ἔθυσαν τῇ Ἀθηνᾷ.

[1]) von Sparta. [2]) sc. τῶν πραγμάτων. S. περαίνειν. [3]) die Partei des Thrasybul.

96. Σωκράτης ἐν ταῖς ἐκκλησίαις ἐπιστάτης γενόμενος οὐκ ἐπέτρεψε τῷ δήμῳ, παρὰ[1]) τοὺς νόμους ψηφίσασθαι, ἀλλὰ σὺν τοῖς νόμοις ἠναντιώθη τοιαύτῃ ὁρμῇ τοῦ δήμου, ἣν οὐκ ἂν οἶμαι ἄλλον οὐδένα ἀνθρώπον ὑπομεῖναι.[2])

[1]) wider. [2]) Inf. mit ἄν: daß . . . ausgehalten hätte.

97. Θαυμάζω, ὅπως ποτὲ ἐπείσθησαν Ἀθηναῖοι, Σωκράτην περὶ θεοὺς μὴ σωφρονεῖν, τὸν ἀσεβὲς οὐδέν ποτε περὶ τοὺς θεοὺς οὔτ' εἰπόντα οὔτε πράξαντα.

98. Οἱ Λακεδαιμόνιοι ἔπεισαν τὸν ἀδελφὸν τοῦ βασιλέως[1]) Κῦρον, ὄντα νεώτερον[2]) ἀμφισβητεῖν τῆς βασιλείας καὶ στρατόπεδον αὐτῷ συναγαγόντες καὶ στρατηγὸν Κλέαρχον ἐπιστήσαντες ἀνέπεμψαν ἐπ' ἐκεῖνον.

[1]) Artaxerxes. [2]) obgleich er der Jüngere war.

99. Βασιλεῖ ἡ πόλις μὲν[1]) οὐκ ἐτόλμησε βοηθῆσαι αἰσχυνομένη τὰ τρόπαια τά τε Μαραθῶνι καὶ Σαλαμῖνι

καὶ Πλαταιαῖς, φυγάδας δὲ καὶ ἐθελοντὰς [2]) ἐάσασα μόνον βοηθῆσαι ὁμολογουμένως ἔσωσε.

[1]) Athen. [2]) Konon und Andere.

100. Φυγὼν [1]) ὁ Ξενοφῶν κατῴκει ἐν Σκιλλοῦντι [1]) ὑπὸ τῶν Λακεδαιμονίων οἰκισθέντι παρὰ τὴν Ὀλυμπίαν [2]).

[1]) weil er den Zug des jüng. Cyrus mitgemacht hatte. [2]) ein Städtchen in Elis (im Peloponnes.)

101. Κόνων συσταντὸς [1]) αὐτῷ ναυτικοῦ περὶ Ῥόδον, νικήσας τῇ ναυμαχίᾳ [2]) Λακεδαιμονίους μὲν ἐξέβαλεν ἐκ τῆς ἀρχῆς, τοὺς δ' Ἕλληνας ἠλευθέρωσεν, οὐ μόνον δὲ τὰ τείχη τὰ τῆς πατρίδος ἀνώρθωσεν, ἀλλὰ καὶ τὴν πόλιν εἰς τὴν αὐτὴν δόξαν προήγαγεν, ἐξ ἧσπερ ἐξέπεσεν.

[1]) συνιστάναι. [2]) bei Knidus in Karien.

102. Ἀγησίλαος ἔτι μὲν νέος ὢν ἔτυχε τῆς βασιλείας· ἄρτι δὲ ὄντος αὐτοῦ ἐν τῇ ἀρχῇ, ἐξηγγέλθη βασιλεὺς ὁ Περσῶν ἀθροίζων καὶ ναυτικὸν καὶ πεζὸν πολὺ στράτευμα ὡς ἐπὶ τοὺς Ἕλληνας. Βουλευομένων δὲ περὶ τούτων Λακεδαιμονίων καὶ τῶν ξυμμάχων, Ἀγησίλαος ὑπέστη, [1]) ἐὰν δῶσιν αὐτῷ τριάκοντα μὲν Σπαρτιατῶν, δισχιλίους δὲ νεοδαμώδεις [2]), εἰς ἑξακισχιλίους δὲ τὸ σύνταγμα τῶν συμμάχων, διαβήσεσθαι εἰς τὴν Ἀσίαν καὶ πειράσεσθαι εἰρήνην ποιῆσαι, ἢ, ἂν [3]) πολεμεῖν βούληται ὁ βάρβαρος [4]), ἀσχολίαν αὐτῷ παρέξειν [5]), στρατεύειν ἐπὶ τοὺς Ἕλληνας. Κάλλιστον δὲ πάντων ἐκρίνετο, μὴ περὶ τῆς Ἑλλάδος ἀλλὰ περὶ τῆς Ἀσίας τὸν ἀγῶνα καθιστάναι.

[1]) ὑφιστάναι. [2]) Neubürger. [3]) ἐάν, wofern. [4]) der Perserkönig. [5]) es ihm unmöglich zu machen.

103. Ἀγησίλαος, ὡς ἤκουσε τοὺς πολεμίους ταράσσεσθαι, εὐθὺς ἦγεν ἐπὶ Σάρδεις· ἅμα δὲ καὶ κηρύγματι [1]) ἐδήλου, τοὺς μὲν ἐλευθερίας [2]) δεομένους ὡς πρὸς σύμμαχον αὐτὸν παρεῖναι. Μετὰ τοῦτο ἀπὸ πάντων τῶν ἐθνῶν ἐπρεσβεύοντο περὶ φιλίας, πολλοὶ δὲ καὶ ἀφίσταντο πρὸς αὐτόν, ὀρεγομένοι τῆς ἐλευθερίας· ὥστε οὐκέτι Ἑλλήνων

μόνον, ἀλλὰ καὶ βαρβάρων πολλῶν ἡγεμὼν ἦν ὁ Ἀγησίλαος.

[1]) durch ein κήρυγμα (Manifest). [2]) Genit. [3]) Imperativisch: sollen kommen.

104. Ἄρχων μὲν παμπόλλων ἐν τῇ ἠπείρῳ [1]) πόλεων, ἄρχων δὲ καὶ νήσων, ἐπεὶ καὶ τὸ ναυτικὸν προσῆψεν αὐτῷ ἡ πόλις, αὐξανόμενος καὶ εὐκλείᾳ καὶ δυνάμει, πρὸς δὲ τούτοις τὸ μέγιστον ἐπινοῶν καὶ ἐλπίζων, καταλύσειν τὴν ἐπὶ τὴν Ἑλλάδα στρατεύσασαν πρότερον ἀρχὴν [2]), ὅμως ὑπ' οὐδενὸς [3]) ἐκρατήθη, ἀλλ' ἐπειδὴ ἦλθεν αὐτῷ ἀπὸ τῶν οἴκοι τελῶν [4]) βοηθεῖν τῇ πατρίδι, ἐπείθετο τῇ πόλει.

[1]) auf dem kleinasiatischen Festland. [2]) das Perserreich, das vorher . . . hatte. [3]) neutr. — [4]) der Befehl nämlich.

105. Οἱ ἐν τῇ Ἀσίᾳ Ἕλληνες οὐχ ὡς ἄρχοντος μόνον, ἀλλὰ καὶ ὡς πατρὸς καὶ ἑταίρου ἀπιόντος [1]) αὐτοῦ ἐλυποῦντο.

[1]) als ob . . . gienge.

106. Ἀγησίλαος διαβὰς τὸν Ἑλλήσποντον ἐπορεύετο διὰ τῶν αὐτῶν ἐθνῶν, ὧνπερ ὁ Πέρσης [1]) τῷ παμπληθεῖ στόλῳ, καὶ ἣν ἐνιαυσίαν ὁδὸν ὁ βάρβαρος ἐποιήσατο, ταύτην μεῖον ἢ ἐν μηνὶ κατήνυσεν ὁ Ἀγησίλαος. Ἐπεὶ δὲ κατῄει [2]) εἰς τὰ τῶν Βοιωτῶν ὅρια, ἐνταῦθα δὴ ἀντιτεταγμένους εὑρὼν [3]) Θηβαίους, Ἀθηναίους, Ἀργείους, Κορινθίους, Αἰνιᾶνας, Εὐβοέας καὶ Λοκροὺς ἀμφοτέρους [4]), οὐδὲν ἐμέλλησεν, ἀλλ' ἐκ τοῦ φανεροῦ ἀντιπαρέταττε. Συνῄεσαν δὲ εἰς τὸ κατὰ Κορώνειαν πεδίον. Ἐπειδὴ δὲ ἡ μὲν νίκη σὺν Ἀγησιλάῳ ἐγένετο, τετρωμένος [5]) δ' αὐτὸς προσηνέχθη [6]) πρὸς τὴν φάλαγγα, οἱ Θηβαῖοι ἔπεμψαν κήρυκα, ὑποσπόνδους τοὺς νεκροὺς αἰτοῦντες θάψαι [7]) καὶ οὕτω δὴ αἵ τε σπονδαὶ γίγνονται, καὶ ὁ Ἀγησίλαος οἴκαδε ἀπεχώρει.

[1]) Xerxes, sc. gezogen war. [2]) κατιέναι. [3]) εὑρίσκειν. [4]) die östlichen und westlichen (opuntischen und ozolischen) L. [5]) τιτρώσκειν. [6]) προσφέρειν. [7]) baten, . . . zu dürfen.

107. (*Ὁ Ἀγησίλαος*) *ἀγγελίας ἐλθούσης αὐτῷ, ὡς ἐν τῇ ἐν Κορίνθῳ μάχῃ ὀκτὼ μὲν Λακεδαιμονίων* [1]), *ἐγγὺς δὲ μύριοι τῶν πολεμίων τεθναίεν, οὐκ ἐφησθείς* [2]) *φανερὸς ἐγένετο, ἀλλ' εἶπεν ἄρα* [3])· *φεῦ, ὦ Ἕλλας, ὁπότε* [4]) *οἱ νῦν τεθνηκότες ἱκανοὶ ἦσαν ζῶντες* [5]) *νικᾶν μαχόμενοι πάντας τοὺς βαρβάρους.*

[1]) d. h. ächte Spartiaten. Von den Bundesgenoſſen waren Viele gefallen. [2]) *ἐφήσθαι.* [3]) vielmehr. [4]) da doch. [5]) wenn ſie lebten.

108. *Οἱ Λακεδαιμόνιοι ἀκούοντες, ὅτι Κόνων τὸ τεῖχος τοῖς Ἀθηναίοις ἐκ τῶν Βασιλέως χρημάτων ἀνῳκοδόμει, καὶ τὸ ναυτικὸν ἀπὸ τῶν ἐκείνου* [1]) *τρέφων τάς τε νήσους καὶ τὰς ἐν τῇ ἠπείρῳ παρὰ θαλατταν πόλεις Ἀθηναίοις εὐτρεπίζοι, πεμπουσιν Ἀνταλκίδαν πρὸς Τιρίβαζον* [2]), *προστάξαντες πειρᾶσθαι εἰρήνην τῇ πόλει ποιεῖσθαι πρὸς Βασιλέα.*

[1]) Mitteln. [2]) perſ. Statthalter in Kleinaſien.

109. *Προκεχωρηκότων* [1]) *τοῖς Λακεδαιμονίοις, ὥστε Θηβαίους μὲν καὶ τοὺς ἄλλους Βοιωτοὺς παντάπασιν ἐπ' ἐκείνοις εἶναι, Κορινθίους δὲ πιστοτάτους γεγενῆσθαι, Ἀργείους δὲ τεταπεινῶσθαι, Ἀθηναίους δὲ ἠρημῶσθαι, παντάπασιν ἤδη καλῶς καὶ ἀσφαλῶς ἡ ἀρχὴ ἐδόκει αὐτοῖς κατεσκευάσθαι.*

[1]) *προχωρεῖ* es gelingt. „Nachdem es gelungen war", nemlich durch den Antalkidiſchen Frieden.

110. *Ἐς τὴν ἐν Λεύκτροις μάχην τοῖς μὲν Λακεδαιμονίοις πάντα ἐναντία ἐγίγνετο, τοῖς δὲ Θηβαίοις* [1]) *πάντα καὶ ὑπὸ τῆς τύχης κατωρθοῦτο.*

[1]) unter Epaminondas.

111. *Ἐπαμινώνδας, οὐχ ὑποπτήξας τὸ τῶν Ἀθηναίων ἀξίωμα, εἶπε διαῤῥήδην ἐν τῷ πλήθει τῶν Θηβαίων, ὡς δεῖ τὰ τῆς Ἀθηναίων ἀκροπόλεως προπύλαια* [1]) *μετενεγκεῖν* [2]) *εἰς τὴν προστασίαν τῆς Καδμείας.*

[1]) bildlich für die Hegemonie. [2]) *μεταφέρειν.*

112. *Πολὺ ἐπλεονέκτει ὁ Πελοπίδας παρὰ τῷ Περσῃ· οὐχ γὰρ ἔλεγεν, καὶ ὅτι μόνοι τῶν Ἑλλήνων οἱ Θηβαῖοι Βασιλεῖ συνεμάχοντο ἐν Πλαταιαῖς, καὶ ὅτι ὕστερον οὐδὲ πώποτε στρατεύσαντο ἐπὶ Βασιλέα, καὶ ὡς Λακεδαιμόνιοι διὰ τοῦτο πολεμήσειαν αὐτοῖς, ὅτι οὐκ ἐθελήσαιεν αἰεὶ Ἀγησίλαον ἐλθεῖν ἐπ' αὐτόν.*

113. *Οἱ Βοιωτοὶ ἐγυμάζοντο πάντες περὶ τὰ ὅπλα ἀγαλλόμενοι τῇ ἐν Λεύκτροις νίκῃ.*

114. *Ἐπαμινώνδας ἐκ Τεγέας ἡγεῖτο τῷ στρατεύματι εὐθὺς ἐπὶ Σπάρτῃ· καὶ εἰ μὴ Κρὴς* [1]) *θείᾳ τινὶ μοίρᾳ προσελθὼν ἐξήγγειλε τῷ Ἀγησιλάῳ προσιὸν τὸ στράτευμα, ἔλαβεν ἂν τὴν πόλιν ὥσπερ νεοττιάν, παντάπασιν ἔρημον τῶν ἀμυνούντων.*

[1]) Ein Kretenſer, ſpart. Söldner.

115. *Ἐν δὲ τῇ πρὸς Μαντίνειαν μάχῃ τὸ στράτευμα ἀντίπρωρον* [1]) *ὥσπερ τριήρη προσῆγε, νομίζων, ὅπῃ ἐμβαλὼν διακόψειε, διαφθερεῖν ὅλον τὸ τῶν ἐναντίων στράτευμα· καὶ οὐκ ἐψεύσθη τῆς ἐλπίδος. Κρατήσας γὰρ ᾗ προσέβαλεν, ὅλον ἐποίησε φεύγειν τὸ τῶν ἐναντίων. Ἐπὶ γε μὴν* [2]) *ἐκεῖνος (Ἐπαμινώνδας) ἔπεσεν, οἱ λοιποὶ τῇ νίκῃ οὐκ ὀρθῶς ἔτι ἐδυνήθησαν χρήσασθαι, οὔτε ἀρχῇ οὐδὲν πλέον ἔχοντες ἐφάνησαν* [3]) *ἢ πρὶν τὴν μάχην γενέσθαι.* [4])

[1]) Mit der Spitze. [2]) jedoch. [3]) *φαίνεσθαι.* [4]) vor dem daß = ehe (die Schl. vorgef. war).

116. *Τῷ δὲ Ἐπαμινώνδᾳ καλὴ ἡ τελευτὴ ἐγένετο, πειρωμένῳ τῇ πατρίδι ἀρχὴν Πελοποννήσου καταλιπεῖν.*

117. *Οἱ Θετταλοὶ καὶ Θηβαῖοι φίλον, εὐεργέτην, σωτῆρα τὸν Φίλιππον ἡγοῦντο· πάντ' ἐκεῖνος ἦν αὐτοῖς.*

118. *Βασιλεὺς Μακεδόνων Φίλιππος Ἀθηναίων τῇ βουλῇ καὶ τῷ δήμῳ χαίρειν* [1]). *Ἴστε ἡμᾶς παρεληλυθό-*

τας εἴσω Πυλῶν [2]) καὶ τὰ κατὰ τὴν Φωκίδα ὑφ' ἑαυτοὺς [3]) πεποιημένους.

[1]) sc. εὔχεται. Gewöhnliche Briefformel, wie: „seinen Gruß!"
[2]) die Thermopylen. S. παρέρχεσθαι. [3]) st. ἡμᾶς αὐτούς.

119. Εἰ μὴ παρεκρούσθησαν οἱ Ἀθηναῖοι, οὔτε ναυοὶ κρατήσας εἰς τὴν Ἀττικὴν ἦλθεν ἄν [1]) ποτε Φίλιππος στόλῳ, οὔτε πεζῇ βαδίζων ὑπὲρ τὰς Πύλας καὶ Φωκέας.

[1]) wäre gekommen.

120. Οἱ Ἕλληνες ἑώρων τὸν Φίλιππον ὑπὲρ ἀρχῆς καὶ δυναστείας τὸν ὀφθαλμὸν ἐκκεκομμένον [1]), τὴν κλεῖν κατεαγότα [2]), τὴν χεῖρα, τὸ σκέλος πεπηρωμένον.

[1]) ἐκκόπτειν. [2]) καταγνύναι.

121. Λακεδαιμονίων μὲν ἀπολωλότων [1]), Θηβαίων δ' ἀσχόλων ὄντων, τῶν δ' ἄλλων οὐδενὸς ὄντος ἀξιόχρεω περὶ τῶν πρωτείων ἀντιτάξασθαι, οἱ Ἀθηναῖοι ἀπεστέρηντο χώρας οἰκείας.

[1]) ἀπολλύναι.

122. Εἰ δ', οἷος Δημοσθένης ἦν, εἷς ἐν ἑκάστῃ τῶν ἑλληνίδων πόλεων ἀνὴρ ἐγένετο, μᾶλλον δ' εἰ ἕνα μόνον ἄνδρα Θετταλία, ἕνα ἄνδρα Ἀρκαδία ταὐτὰ φρονοῦντα ἔσχον ἐκείνῳ, οὐδεὶς ἂν οὔτε τῶν ἔξω Πυλῶν Ἑλλήνων οὔτε τῶν ἔσω τοῖς γινομένοις κακοῖς ἐκέχρητ' ἄν [1]), ἀλλὰ πάντες ἂν ὄντες ἐλεύθεροι καὶ αὐτόνομοι, μετὰ πάσης ἀδείας, ἀσφαλῶς ἐν εὐδαιμονίᾳ τὰς ἑαυτῶν ᾤκουν πατρίδας.

[1]) tantis malis usus esset, d. h. hätte . . . erfahren müssen.

123. Πολλοὶ γεγόνασι [1]) ῥήτορες ἔνδοξοι καὶ μεγάλοι πρὸ Δημοσθένους, ἀλλ' ὅμως οὐδεὶς πώποτε τούτων διὰ παντὸς ἔδωκεν ἑαυτὸν τῇ πόλει. Ἐκεῖνος δὲ τοσοῦτον ὑπερῆρε [2]) τοὺς ἄλλους ῥώμῃ καὶ τόλμῃ, ὥστε πάντα ποιεῖν αὐτός.

[1]) γίγνεσθαι. [2]) ὑπεραίρειν.

124. Δημοσθένης χαλκοῖς καὶ ἀδαμαντίνοις τείχεσιν, ὡς αὐτός φησι, τὴν τῶν Ἀθηναίων χώραν ἐτείχισε, τῇ τῶν

Εὐβοιέων καὶ Θηβαίων συμμαχίᾳ, ὥστε ἀήττητος ἡ πόλις τὸ κατ' αὐτόν. [1])

[1]) So viel an ihm lag.

125. Μετὰ τὴν ἐν Χαιρωνείᾳ μάχην [1]) εὐθὺς ὁ δῆμος, εἰδὼς [2]) καὶ ἑωρακὼς [3]) ὅσα ἔπραττε Δημοσθένης, ἐν αὐτοῖς τοῖς δεινοῖς καὶ φοβεροῖς ἐμβεβηκώς [4]), πρῶτον μὲν περὶ σωτηρίας τῆς πόλεως βουλευόμενος ἐχειροτόνει, καὶ πάνθ' ὅσα τῆς φυλακῆς ἕνεκα ἐπράττετο, δι' αὐτοῦ τῶν ψηφισμάτων ἐγίνετο.

[1]) Zu dieser hatte vorzüglich Demosthenes gerathen und Bundesgenossen aufgetrieben. Sie war aber die letzte für die Unabhängigkeit Griechenlands. [2]) εἰδέναι. [3]) ὁρᾶν. [4]) ἐμβαίνειν.

---

126. Ἐπεί ποτε δημηγορία Δημοσθένους ἐξηγγέλθη Ἀθήνηθεν, καθαπτομένη Φίλιππον, καὶ Παρμενίων ἠγανάκτει καί τι καὶ σκωπτικὸν εἰς τὸν Δημοσθένην ἐπεῖπεν [1]), ὁ Φίλιππος, Ὦ Παρμενίων, ἔφη, δίκαιος [2]) ὁ Δημοσθένης παρρησίας τυγχάνειν· μόνος γέ τοι τῶν ἐπὶ τῆς Ἑλλάδος δημαγωγῶν οὐδαμοῦ τοῖς ἀπολογισμοῖς ἐγγέγραπται τῶν ἐμῶν ἀναλωμάτων.

[1]) ἐπιλέγειν. [2]) sc. ἐστί (Er verdient), st. δίκαιόν ἐστι, Δημοσθένη . . .

127. Τοῦτον οὖν, ἔφη, χρὴ δεδιέναι [1]) μᾶλλον ἢ πάσας τριήρεις καὶ πάντας ἀποστόλους· ὃ γὰρ Ἀθηναίοις τοῖς πάλαι Θεμιστοκλῆς καὶ Περικλῆς ἐγένετο, τοῦτο τοῖς νῦν ὁ Δημοσθένης, ἐφάμιλλος Θεμιστοκλεῖ μὲν τὴν σύνεσιν, Περικλεῖ δὲ τὸ φρόνημα.

[1]) δείδειν.

128. Τοιαῦτα πολλάκις ὁ Φίλιππος περὶ τἀνδρὸς [1]) ἔλεγεν, ἓν τῶν παρὰ τῆς τύχης χρηστῶν τιθέμενος, τὸ μὴ [2]) στρατηγεῖν τὸν Δημοσθένην, οὔγε καὶ τοὺς λόγους [3])

ὥσπερ κριοὺς Ἀθηναῖον ὁρμωμένους διασεῖαν αὐτοῦ καὶ ταράττειν τὰ βουλεύματα.

[1]) τοῦ ἀνδρός. [2]) daß er nicht . . . [3]) Acc. c. Inf. beim Relativ ſt. des Optativs.

129. *Περὶ Χαιρωνείας οὐδὲ μετὰ τὴν νίκην ἐπαίετο πρὸς τοὺς συνόντας λέγων, εἰς οἷον ἀνθρωπος*[1]) *αὐτὸν κινδύνου κατέστησεν. Ἐπὶ μιᾶς γαρ, ἔφη, ταύτης τῆς ἡμέρας τῶν περὶ τῆς ἀρχῆς καὶ ψυχῆς κινδύνων ἐπέστησε*[2]) *μοι, τὰς ἀρίστας πόλεις εἰς ἓν συναγαγὼν καὶ πᾶσαν τὴν ἑλληνικὴν δύναμιν ἀθρόαν.*

[1]) ὁ ἄνθρωπος. [2]) ἐφιστάναι. (aor. 1.)

130. Alexander erzählt ſeine Thaten dem Minos in der Unterwelt.

Νέος ὢν ἔτι, παρελθὼν ἐπὶ τὰ πράγματα, καὶ τὴν ἀρχὴν τεταραγμένην κατέσχον καὶ τοὺς φονεας τοῦ πατρὸς μετῆλθον, καὶ καταφρήσας τὴν Ἑλλάδα τῇ Θηβαίων ἀπωλείᾳ στρατηγός τε ὑπ' αὐτῶν χειροτονηθεὶς, οὐκ ἠξίωσα, τὴν Μακεδόνων ἀρχὴν περιέπων[1]) *ἀγαπᾶν ἄρχειν ὑπόσων*[2]) *ὁ πατὴρ κατέλιπεν, ἀλλὰ πᾶσαν ἐπινοήσας τὴν γῆν καὶ θεῶν ἡγησάμενος, εἰ μὴ ἁπάντων κρατήσαιμι, ὀλίγους ἄγων εἰσέβαλον ἐς τὴν Ἀσίαν· καὶ ἐπί τε Γρανικῷ ἐκράτησα μιᾷ μάχῃ, καὶ τὴν Λυδίαν λαβὼν καὶ Ἰωνίαν καὶ Φρυγίαν καὶ ὅλως τὰ ἐν ποσὶν ἀεὶ χειρούμενος ἦλθον ἐπὶ Ἰσσόν, ἔνθα Δαρεῖος ἐπέκεινε, μυριάδας πολλὰς στρατοῦ ἄγων. Καὶ τὸ ἀπὸ τούτου, ὦ Μίνως, ἴσθι, ὅσους ἐμὸν νεκροὺς ἐπὶ πᾶς ἡμέρας κατέπεμψα. Φησὶ γοῦν*[3]) *ὁ πορθμεὺς*[4]), *μὴ διαρκέσαι αὐτοῖς τότε τὸ σκάφος, ἀλλὰ σχεδίας διαπλῆσαι νους τοὺς πολλοὺς αὐτῶν διαπλεῦσαι· καὶ ταῦτα διεπραττον αὐτὸς προκινδυνεύων καὶ τιτρώσκεσθαι ἀξιῶν· καὶ ἵνα σοι μὴ τὰ ἐν Τύρῳ μηδὲ τὰ ἐν Ἀρβήλοις δηλώσωμαι, ἀλλὰ καὶ μέχρις Ἰνδῶν ἦλθον καὶ τὸν Ὠκεανὸν ὅρον ἐποιησάμην τῆς ἀρχῆς καὶ τοὺς ἐλέφαντας αὐτῶν εἶλον καὶ Πῶρον ἐχειρωσάμην· καὶ Σκύθας δὲ, οὐκ εὐκαταφρονήτους ἄνδρας, ὑπερβὰς τὸν Τάναιν ἐνίκησα μεγάλῃ ἱππομαχίᾳ· καὶ τοὺς φίλους εὖ ἐποίησα καὶ τοὺς ἐχθροὺς ἠμυνάμην. Εἰ δὲ καὶ θεὸς ἐδοκουν τοῖς ἀνθρώποις, συγγνωστοὶ ἐκεῖνοι πρὸς τὸ μέγεθος τῶν πραγμάτων καὶ τοιοῦτό τε πιστεύσαντες περὶ ἐμοῦ· ἐγὼ δὲ, εἰ μὴ μικρὰ τὰ ἑσπέρια δόξας*[5]) *ἐπὶ τὴν ὠκεανὸν ὡρμησα, τι ἂν μέγα ἔπραξα, Ἰταλίαν ἀναμωτὶ λαβὼν καὶ Λιβύην καὶ τὰ μέχρι Γαδειρῶν ὑπαγόμενος; ἀλλ' οὐκ ἀξιόμαχα ἔδοξέ μοι ἐκεῖνα ὑποπτήσσοντα ἤδη καὶ δεσπότην ὁμολογοῦντα.*

[1]) beſchränkt auf — . [2]) τοσούτων, ὅσους: „mit der Herrſchaft über ſo viele, als — . [3]) ja doch. [4]) Charon. [5]) wenn ich das Abendl. nicht für zu klein gehalten hätte, und nicht lieber gegen . . .

B) Vermiſchte Sätze und Anekdoten.

1. *Τῆς παιδειας ἡ μὲν ῥίζα πικρὰ, γλυκεροὶ δὲ καρποί.*

2. *Ἡ Σπάρτη, τῶν ὀλιγανθρωποτάτων πόλεων οὖσα, δυνατωτάτη καὶ ὀνομαστοτάτη ἐν τῇ Ἑλλάδι ἐφάνη.*

3. *Εἰς Σπάρτην παραγενόμενός τις καὶ τὴν πρὸς τοὺς πρεσβυτέρους τῶν νεων τιμὴν*[1]) *θεασάμενος, Ἐν Σπάρτῃ μονῃ, ἔφη, λυσιτελεῖ γηράσκειν.*

[1]) Ehrfurcht.

4. *Τῶν Ἑλλήνων οἱ φάσκοντες κάλλιστα τοὺς υἱεῖς παιδεύειν, εὐθὺς πέμπουσιν εἰς διδασκάλων*[1]), *μαθησομένους*[2]) *καὶ γράμματα καὶ μουσικὴν καὶ τὰ ἐν παλαίστρᾳ.*

[1]) sc. οἰκίας. — [2]) um zu l . . μανθάνειν.

5. *Ἐπειδὰν οἱ παῖδες γράμματα μάθωσι καὶ μέλλωσι συνήσειν*[1]) *τὰ γεγραμμένα, οἱ διδάσκαλοι παρατιθέασιν αὐτοῖς ἐπὶ τῶν βάθρων ἀναγιγνώσκειν*[2]) *ποιητῶν ἀγαθῶν ποιήματα καὶ ἐκμανθάνειν ἀναγκάζουσι.*

[1]) συνιέναι. [2]) zum Leſen.

6. *Λεωνίδας ἐρωτηθεὶς, διὰ τί οἱ ἄριστοι τὸν ἔνδοξον θάνατον τῆς ἀδόξου προκρίνουσι ζωῆς, Ὅτι, ἔφη, τὸ μὲν τῆς φύσεως ἴδιον, τὸ δὲ ἑαυτῶν εἶναι νομίζουσι.*

7. *Ὁ Ἀντισθένης Διογένην ἤλαυνεν ἀπὸ τῆς αὐτοῦ συνουσίας· ὁ δὲ οὐκ ἀπηλλάττετο, ἀλλ' ἔτι μᾶλλον ἐνεκειτο φιλοπόνως, ἀκούειν αὐτοῦ διψῶν, καὶ ἔλεγε· Σὺ μὲν παῖε, εἰ βούλει· ἐγὼ δὲ ὑποθήσω τὴν κεφαλήν, καὶ οὐκ ἂν οὕτως ἐξεύροις βακτηρίαν σκληράν, ὥστε με ἀπελάσαι τῶν διατριβῶν τῶν σῶν. Ὁ δὲ ὑπερησπάσατο αὐτόν.*

8. *Διογένης ἐρωτηθεὶς, ποῦ τῆς Ἑλλάδος ἴδοι ἀγαθοὺς* [1]) *ἄνδρας, Ἄνδρας μὲν, ἔφη, οὐδαμοῦ· παῖδας* [2]) *δὲ ἐν Λακεδαίμονι.*

[1]) rechte. [2]) d. h. solche, die Männer werden wollen.

9. *Ἀγησίλαος ἐρομένου τινός, διὰ τί ἀτείχιστος ἡ Σπάρτη, ἐπιδείξας τοὺς πολίτας ἐξωπλισμένους, Ταῦτά ἐστιν, ἔφη, τὰ Λακεδαιμονίων τείχη.*

10. *Λεωτυχίδης πυνθανομένου τινός· διὰ τίνα αἰτίαν ὀλιγοποτοῦσιν οἱ Σπαρτιᾶται, εἶπεν, Ἵνα μὴ ἄλλοι ὑπὲρ ἡμῶν βουλεύωνται, ἀλλ' ἡμεῖς ὑπὲρ ἄλλων.*

11. *Τὸ ἀδικεῖν καὶ ἀπειθεῖν τῷ βελτίονι καὶ θεῷ καὶ ἀνθρώπῳ, κακὸν καὶ αἰσχρόν ἐστι.*

12. *Τὸ γνῶθι* [1]) *σαυτὸν καὶ τὸ σωφρόνει ταὐτόν ἐστι.*

[1]) γιγνώσκειν.

13. *Πρωταγόρας ἔλεγε πάντων χρημάτων μέτρον εἶναι. ἄνθρωπον.*

14. *Ἥλικα, ὁ παλαιὸς λόγος* [1]), *τέρπειν τὸν ἥλικα* [2])· *ἡ γὰρ χρόνου ἰσότης ἐπ' ἴσας ἡδονὰς ἄγουσα δι' ὁμοιότητα φιλίαν παρέχεται· ἀλλ' ὅμως κόρον γε καὶ ἡ τούτων συνουσία ἔχει.*

[1]) sc. ἐστί, oder λέγει. [2]) simi em simili gaudere.

15. *Τὸ τοῦ Θεμιστοκλέους εὖ ἔχει, ὅς τῳ Σεριφίῳ* [1]) *λοιδορουμένῳ καὶ λέγοντι, ὅτι οὐ δι' αὐτὸν, ἀλλὰ διὰ τὴν πόλιν εὐδοκιμοῖ, ἀπεκρίνατο, ὅτι οὔτ' ἂν αὐτὸς Σερίφιος* [2]) *ὀνόμαστος ἐγένετο, οὔτε ἐκεῖνος Ἀθηναῖος.* [2])

[1]) Seriphos, eine kl. Insel im ägeischen Meer, unter den Sporaden. [2]) sc. ὢν d. h. εἰ-ἦν, wenn er — wäre.

16 *Εἴ τις, οὓς ἐξ ἴσου δεῖ τιμᾶν τοῖς θεοῖς, εἰς τούτους ἐστὶ φαῦλος, τί ποτε, φησὶν ὁ Σόλων, ὑπ' αὐτοῦ πείσονται* [1]) *οἱ ἀλλότριοι καὶ ἡ πόλις ὅλη;*

[1]) πάσχειν.

17. *Οἶμαι ἅπασιν εἶναι φανερόν, ὅτι τὰ μέλλοντα προγιγνώσκειν οὐ τῆς ἡμετέρας φύσεώς ἐστι.*

18. *Σωκράτης ἐπιμελεῖσθαι θεοὺς ἐνόμιζεν ἀνθρώπων οὐχ ὃν τρόπον* [1]) *οἱ πολλοὶ νομίζουσιν· οὗτοι μὲν γὰρ οἴονται τοὺς θεοὺς τὰ μὲν* [2]) *εἰδέναι, τὰ δὲ* [2]) *οὐκ εἰδέναι. Σωκράτης δὲ πάντα μὲν ἡγεῖτο θεοὺς εἰδέναι, τά τε λεγόμενα καὶ πραττόμενα καὶ τὰ σιγῇ βουλευόμενα, πανταχοῦ δὲ παρεῖναι καὶ σημαίνειν* [3]) *τοῖς ἀνθρώποις περὶ τῶν ἀνθρωπείων πάντων.*

[1]) acc. gr. = wie. [2]) das Eine — das Andere. [3]) Zeichen geben.

19. *Σωκράτης μέλλων ἀποθανεῖσθαι* [1]) *ἔλεγε· Ἐκεῖνός ἐστι ὁ ἀληθῶς οὐρανὸς καὶ τὸ ἀληθῶς φῶς καὶ ἡ ἀληθῶς γῆ· ἥδε μὲν γὰρ ἡ γῆ καὶ οἱ λίθοι καὶ ἅπας ὁ τόπος ὁ ἐνθάδε διεφθαρμένα* [2]) *ἐστὶ καὶ καταβεβρωμένα* [3]), *ὥσπερ τὰ ἐν τῇ θαλάττῃ ὑπὸ τῆς ἅλμης.*

[1]) ἀποθνήσκειν. [2]) διαφθείρειν. [3]) καταβιβρώσκειν.

20. *Κριθεῖσαι (ὁ Σωκράτης φησὶν) αἱ ψυχαὶ αἱ μὲν εἰς τὰ ὑπὸ γῆς δικαιωτήρια ἐλθοῦσαι δίκην ἐκτίνουσιν, αἱ δ' εἰς τοὐρανοῦ* [1]) *τινα τόπον ὑπὸ τῆς δίκης* [2]) *κουφισθεῖσαι διάγουσιν ἀξίως οὗ* [3]) *ἐν ἀνθρώπου εἴδει ἐβίωσαν βίου.*

[1]) τοῦ οὐρανοῦ. [2]) Richterspruch. [3]) τοῦ βίου, ὃν —

21. *Σωκράτης ἐν τῷ δεσμωτηρίῳ, παιδόμενος ἐνυπνίῳ, τῶν Αἰσώπου μύθων ἐποίησεν* [1]) *οὓς προχείρους εἶχε καὶ ἠπίστατο.*

[1]) brachte in Verſe.

22. *Τίμων* [1]). *Τίνες ἐστέ; ἢ τί βουλόμενοι δεῦρο ἥκετε, ἄνδρα ἐργάτην καὶ μισθαρίων ἐνοχλήσοντες* [2])*; ἀλλ' ἐγὼ ὑμᾶς αὐτίκα μάλα βάλλων ταῖς βώλοις καὶ τοῖς λίθοις συντρίψω. Οὐδέν ὑμῶν δέομαι· αἰ ἐνοχλεῖτέ μοι· ἱκανὸς ἐμοὶ πλοῦτος ἡ δίκελλα· τὰ δ' ἄλλα εὐδαιμονέστατός εἰμι, μηδενός μοι πλησιάζοντος.* [3])

[1]) der Athener Timon, nachdem er um ſein Vermögen gekommen war, wurde ein abgeſagter Menſchenfeind. — [2]) part. fut. um zu —. [3]) wenn mir Niemand zu nahe kommt.

23. *Ὁ Σόλων ἐς Σάρδεις ἀφικόμενος ἐξενίζετο ἐν τοῖς βασιλείοις ὑπὸ τοῦ Κροίσου. Μετὰ δὲ τοῦτο ἡμέρᾳ τρίτῃ ἢ τετάρτῃ κελεύσαντος Κροίσου τὸν Σόλωνα θεράποντες περιῆγον κατὰ τοὺς θησαυροὺς καὶ ἐπεδείκνυσαν πάντα, ὄντα μεγάλα τε καὶ ὄλβια.* [1]) *Θεασαμένου δὲ αὐτὸν τὰ πάντα καὶ σκεψαμένου εἴρετο Κροῖσος τάδε· Ὦ ξένε Ἀθηναῖε, ἐπεὶ γῆν πολλὴν θεωρίας ἕνεκα ἐπελήλυθας* [2])*, εἰπέ μοι, εἴ τινα ἤδη πάντων εἶδες ὀλβιώτατον* [3])*. Ὁ μὲν οὖν ἐλπίζων εἶναι ἀνθρώπων ὀλβιώτατος ταῦτα ἐπηρώτησε. Σόλων δέ, οὐδὲν ὑποδωπεύσας, λέγει· Ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον. Θαυμάσας δὲ Κροῖσος τὸ λεχθὲν, εἴρετο· Ποίῃ* [4]) *δὴ κρίνεις Τέλλον εἶναι ὀλβιώτατον; Ὁ δὲ εἶπε· Τέλλῳ τὸ μὲν* [5])*, τῆς πόλεως εὖ ἐχούσης, παῖδες ἦσαν καλοί τε κἀγαθοί, καὶ τούτοις εἶδεν ἅπασι τέκνα ἐκγενόμενα καὶ πάντα παραμείναντα, τὸ δὲ* [6]) *τελευτῇ τοῦ βίου λαμπροτάτῃ ἐπεγένετο. Γενομένης γὰρ Ἀθηναίοις μάχης πρὸς τοὺς ἀστυγείτονας ἐν Ἐλευσῖνι, βοηθήσας καὶ τροπὴν ποιήσας τῶν πολεμίων ἀπέθανε κάλλιστα. Καὶ Ἀθηναῖοι δημοσίᾳ τε αὐτὸν ἔθαψαν οὗπερ ἔπεσε· καὶ ἐτίμησαν μεγάλως.*

Ὡς δὲ κατὰ τὸν Τέλλον προετρέψατο ὁ Σόλων τὸν Κροῖσον, ἐπηρώτα, τίνα δεύτερον μετ' ἐκεῖνον ἴδοι, δοκῶν πάντως τὰ δευτερεῖα γοῦν οἴσεσθαι. [6]) *Ὁ δὲ εἶπε· Κλέοβίν τε καὶ Βίτωνα· τούτοις γάρ, οὖσι γένος* [7]) *Ἀργείοις, βίος τε ἀρκῶν ὕπην καὶ πρὸς τούτῳ ῥώμη σώματος τοιάδε· ἀθλοφόροι τε ἀμφότεροι ὁμοίως ἦσαν καὶ δὴ καὶ λέγεται ὧδε ὁ λόγος· οὔσης ἑορτῆς τῇ Ἥρᾳ, ἔδει πάντως τὴν μητέρα αὐτῶν ζεύγει κομισθῆναι εἰς τὸ ἱερόν· οἱ δὲ βόες ἐκ τοῦ ἀγροῦ οὐ παρεγίγνοντο ἐν ὥρᾳ. Ἐκκλειόμενοι δὲ τῇ ὥρᾳ* [8])*, οἱ νεανίαι ὑποδύντες τὴν ζεύγλην εἶλκον τὴν ἅμαξαν, ἐφ' ἧς ὀχεῖτο ἡ μήτηρ· σταδίους δὲ πέντε καὶ τεσσαρακοντα διακομίσαντες ἀφίκοντο εἰς τὸ ἱερόν. Ταῦτα δὲ ποιήσασιν αὐτοῖς καὶ ὀφθεῖσιν* [9]) *ὑπὸ τῆς πανηγύρεως τελευτὴ τοῦ βίου ἀρίστη ἐπεγένετο. Ἀργεῖοι μὲν γὰρ οἱ περιστάντες ἐμακάριζον τῶν νεανιῶν τὴν ῥώμην, αἱ δὲ Ἀργεῖαι τὴν μητέρα αὐτῶν, οἵων τέκνων ἔτυχεν. Ἡ δὲ μήτηρ περιχαρὴς οὖσα τῷ τε ἔργῳ καὶ τῇ φήμῃ, στᾶσα ἀντίον τοῦ ἀγάλματος εὔχετο, τοῖς ἑαυτῆς τέκνοις δοῦναι τὴν θεὸν, ὅτιπερ ἀνθρώπῳ τυχεῖν ἄριστόν ἐστι. Μετὰ δὲ ταύτην τὴν εὐχὴν, ὡς ἔθυσαν καὶ εὐωχήθησαν, κατακοιμηθέντες ἐν αὐτῷ τῷ ἱερῷ οἱ νεανίαι οὐκέτι ἀνέστησαν, ἀλλ' ἐν τούτῳ τῷ τέλει εἶχοντο. Ἀργεῖοι δὲ εἰκόνας αὐτῶν ποιησάμενοι ἀνέθεσαν ἐς Δελφοὺς ὡς ἀνδρῶν ἀρίστων γενομένων.*

Σόλων μὲν δὴ εὐδαιμονίας τὰ δευτερεῖα ἔνεμε τούτοις· Κροῖσος δὲ ὀπερχθεὶς [10]) *εἶπεν· Ὦ ξένε Ἀθηναῖε, ἡ δὲ ἡμετέρα εὐδαιμονία οὕτω σοι* [11]) *ἀπέρριπται ἐς τὸ μηδέν, ὥστ' οὐδὲ ἰδιωτῶν ἀνδρῶν ἀξίους ἡμᾶς ἐποίησας; Ὁ δὲ εἶπεν· Ὦ Κροῖσε, ἐν τῷ μακρῷ χρόνῳ πολλὰ μέν ἐστιν ἰδεῖν, ἃ μή τις ἐθέλει, πολλὰ δὲ παθεῖν· ἐς γὰρ ἑβδομήκοντα ἔτη τὸν ὅρον τῆς ζωῆς ἀνθρώπῳ προτίθημι· τῶν δὲ ἡμερῶν τῶν ἐς τὰ ἑβδομήκοντα ἔτη οὐσῶν πεντήκοντα καὶ διακοσίων καὶ ἑξακισχιλίων καὶ δισμυρίων ἡ ἑτέρα αὐτῶν τῇ ἑτέρᾳ ἡμέρᾳ τὸ παράπαν οὐδὲν ὅμοιον πρήσσει πρᾶγμα· οὕτως οὖν, ὦ Κροῖσε, πᾶν* [12]) *ἐστιν ἄνθρωπος*

συμφορά. Ἐμοὶ δὲ σὺ καὶ πλουτεῖν μὲν μεγα φαίνῃ καὶ βασιλεὺς εἶναι πολλῶν ἀνθρώπων· ἐκεῖνο δέ, ὃ ἔρου με, οὔπω σε ἐγὼ λέγω [11]), πρὶν ἂν τελευτήσαντα καλῶς τὸν αἰῶνα πύθωμαι [12])· οὐ γάρ τοι ὁ μεγα πλούσιος μᾶλλον τοῦ ἐφ' ἡμέραν ἔχοντος ὀλβιώτερός ἐστιν, εἰ μὴ ἐπιτύχοι αὐτῷ [13]) πάντα καλὰ ἔχοντι [14]) τελευτῆσαι εὖ τὸν βίον.

Ταῦτα λέγων τῷ Κροίσῳ πάνυ ἔδοξε ἀμαθὴς εἶναι, ὃς [15]) τὰ παρόντα ἀγαθὰ μεθεὶς [16]) τὴν τελευτὴν παντὸς χρήματος ὁρᾶν ἐκέλευε.

[1]) Sonſt gew. εὐδαίμων. [2]) ἐπέρχεσθαι. [3]) εὐδαιμονέστατον. [4]) Jnwiefern. [5]) theils, theils. [6]) φέρω. [7]) von Geſchlecht. [8]) durch die Zeit gedrängt. [9]) ὁρᾶν. [10]) ὀργισθείς oder παροξυνθείς. [11]) = ὑπὸ σοῦ. [12]) durchaus. [13]) nemlich den Glücklichſten. [14]) πεπάνεσθαι „bevor ich erfahren habe, daß du . . . [15]) es müßte ihm denn auch . . . . [16]) im beſten Zuſtande. [17]) weil er. [18]) μεθιέναι.

C) Fabeln und Parabeln.

1. Der Hund und die Schafe.

Ὅτε φωνήεντα ἦν τὰ ζῶα, ἡ οἷς πρὸς τὸν δεσπότην εἶπε· θαυμαστὸν ποιεῖς, ὃς ἡμῖν μὲν ταῖς καὶ ἔριά σοι καὶ ἄρνας καὶ τυρὸν παρεχούσαις οὐδὲν δίδως, ὅτι ἂν μὴ ἐκ τῆς γῆς λάβωμεν, τῷ δὲ κυνί, ὃς οὐδὲν τοιοῦτόν σοι παρέχει, μεταδίδως, οὗπερ αὐτὸς ἔχεις σῖτον. Ὁ κύων οὖν ἀκούσας εἶπε· Ναὶ μὰ Δία· ἐγὼ γὰρ εἰμὶ ὁ καὶ ὑμᾶς αὐτὰς σώζων, ὥστε μήτε ὑπ' ἀνθρώπων κλέπτεσθαι, μήτε ὑπὸ λύκων ἁρπάζεσθαι, ἐπεὶ ὑμεῖς γε, εἰ μὴ ἐγὼ προφυλάττοιμι ὑμᾶς, οὐδ' ἂν νέμεσθαι δύναισθε, φοβούμεναι μὴ ἀπόλησθε [1]). Οὕτω δὴ καὶ τὰ πρόβατα συνεχώρησε, τὸν κύνα προτιμᾶσθαι.

[1]) ἀπόλλυσθαι, med.

2. Der moraliſche Zwerchſack.

Αἴσωπος ἔλεγε, δύο πήρας ἕκαστον ἡμῶν φέρειν, τὴν μὲν ὄπισθεν, τὴν δὲ ἔμπροσθεν· καὶ εἰς μὲν τὴν ἔμπροσθεν ἀποτιθέναι τὰ τῶν ἄλλων ἀνθρώπων ἁμαρτήματα, εἰς δὲ τὴν ὄπισθεν τὰ ἑαυτῶν.

3. Verwandtſchaft von Luſt und Schmerz.

Ὁ Σωκράτης, ἄρτι λελυμένος τῶν δεσμῶν, ἀνακαθιζόμενος εἰς τὴν κλίνην συνέκαμψέ τε τὸ σκέλος καὶ ἔτριψε τῇ χειρί· καὶ τριβὼν ἅμα, Ὡς ἄτοπον, ἔφη, ἔοικέ τι εἶναι τοῦτο ὃ καλοῦσιν οἱ ἄνθρωποι ἡδύ· ὡς θαυμασίως πέφυκε [1]) πρὸς τὸ δοκοῦν ἐναντίον εἶναι, τὸ λυπηρόν. Ἅμα μὲν αὐτῷ μὴ θέλει παραγίγνεσθαι τῷ ἀνθρώπῳ, ἐὰν δέ τις διώκῃ τὸ ἕτερον καὶ λαμβάνῃ, σχεδόν τι ἀναγκάζεται ἀεὶ, λαμβάνειν καὶ τὸ ἕτερον. Καί μοι δοκεῖ, ἔφη, εἰ ἐνενόησεν αὐτὰ Αἴσωπος, μῦθον ἂν συνθεῖναι [2]), ὡς ὁ θεὸς βουλόμενος αὐτὰ διαλλάξαι πολεμοῦντα [3]), ἐπειδὴ οὐκ ἐδύνατο, συνῆψεν εἰς ταὐτὸν [4]) αὐτῶν τὰς κορυφάς. Καὶ διὰ ταῦτα, ᾧ ἂν τὸ ἕτερον παραγένηται, παρακολουθεῖ καὶ ὕστερον καὶ [5]) τὸ ἕτερον.

[1]) verhält es ſich. [2]) wenn Aeſop daran gedacht hätte, würde er . . . S. συντιθέναι, [3]) dieſe ſich widerſtrebenden Dinge. [4]) τὸ αὐτό. S. συνάπτειν. [5]) doppeltes καὶ: gewiß auch.

4. Die Tyrannen.

Ἐπεὶ οἱ λ' πολλοὺς μὲν τῶν πολιτῶν καὶ οὐ τοὺς χειρίστους [1]) ἀπέκτεινον, πολλοὺς δὲ ἐπετρέποντο ἀδικεῖν, εἶπέ που ὁ Σωκράτης, ὅτι θαυμαστὸν οἱ δοκοίη εἶναι, εἴ τις γενόμενος βοῶν ἀγέλης νομεὺς καὶ τὰς βοῦς ἐλάττους [2]) τε καὶ χείρους ποιῶν μὴ ὁμολογοίη κακὸς βουκόλος εἶναι· ἔτι δὲ θαυμαστότερον, εἴ τις προστάτης γενόμενος πόλεως καὶ ποιῶν τοὺς πολίτας ἐλάττους καὶ χείρους μὴ αἰσχύνεται, μηδ' οἴεται κακὸς εἶναι προστάτης τῆς πόλεως.

[1]) Superl. zu κακός, [2]) Comp. zu ὀλίγος.

5. Die Schöpfung.

Ἦν ποτε χρόνος, ὅτε θεοὶ μὲν ἦσαν, θνητὰ δὲ γένη οὐκ ἦν. Ἐπειδὴ δὲ καὶ τούτοις χρόνος ἦλθεν εἱμαρμένος γενέσεως, τυποῦσιν αὐτὰ θεοὶ γῆς ἔνδον, ἐκ γῆς καὶ πυρὸς μίξαντες. Ἐπειδὴ δ' ἄγειν αὐτὰ πρὸς φῶς ἔμελλον, προσέταξαν Προμηθεῖ καὶ Ἐπιμηθεῖ, κοσμῆσαί τε καὶ νεῖμαι δυνάμεις ἑκάστοις, ὡς πρέπει.[1]) Προμηθέα δὲ παραιτεῖται Ἐπιμηθεύς, αὐτὸς[2]) νεῖμαι· Νείμαντος δ' ἐμοῦ[3]), ἔφη, ἐπίσκεψαι. Καὶ οὕτω πείσας[4]) νέμει. Νέμων δὲ τοῖς μὲν ἰσχὺν ἄνευ τάχους προσῆπτε, τὰ δ' ἀσθενέστερα δὲ τάχει ἐκόσμει· τὰ δὲ ὥπλιζε, τοῖς δ' ἄοπλον διδοὺς φύσιν, ἄλλην τιν' αὐτοῖς ἐμηχανᾶτο δύναμιν εἰς σωτηρίαν. Ἐπειδὴ δὲ αὐτοῖς ἀλλήλων διαφυγὰς ἐπήρκεσε, πρὸς τὰς ἐκ Διὸς ὥρας[5]) εὐμάρειαν ἐμηχανᾶτο, ἀμφιεννὺς αὐτὰ πυκναῖς τε θριξὶ καὶ στερεοῖς δέρμασιν, ἱκανοῖς ἀμῦναι χειμῶνά τε καὶ καύματα, καὶ εἰς εὐνὰς ἰοῦσιν[6]) ὅπως ὑπάρχοι[7]) τὰ αὐτὰ ταῦτα στρωμνὴ οἰκεῖά τε καὶ αὐτοφυὴς ἑκάστῳ· καὶ ὑπὸ ποδῶν τὰ μὲν ὁπλαῖς, τὰ δὲ θριξὶ καὶ δέρμασι στερεοῖς καὶ ἀναίμοις. Τοὐνθεῦτεν[8]) τροφὰς ἄλλοις ἄλλας ἐξεπόριζε, τοῖς μὲν ἐκ γῆς βοτάνην, ἄλλοις δὲ δένδρων καρπούς, τοῖς δὲ ῥίζας· ἔστι δ' οἷς[9]) ἔδωκεν εἶναι τροφὴν ζώων ἄλλων βοράν. Καὶ τοῖς μὲν ὀλιγογονίαν προσῆψε, τοῖς δ' ἀναλισκομένοις ὑπὸ τούτων πολυγονίαν, σωτηρίαν τῷ γένει πορίζων.[10]) Ἅτε δὴ οὖν οὐ πάνυ τι σοφὸς ὢν[11]) ὁ Ἐπιμηθεὺς ἔλαθεν αὐτὸν[12]) καταναλώσας τὰς δυνάμεις εἰς τὰ ἄλογα. Λοιπὸν δὴ ἀκόσμητον ἔτι αὐτῷ ἦν τὸ τῶν ἀνθρώπων γένος, καὶ ἠπόρει, ὅτι χρήσαιτο.[13]) Ἀποροῦντι δὲ αὐτῷ ἔρχεται Προμηθεὺς ἐπισκεψόμενος τὴν νομήν, καὶ ὁρᾷ τὰ μὲν ἄλλα ζῶα ἐμμελῶς πάντων ἔχοντα[14]), τὸν δὲ ἄνθρωπον γυμνόν τε καὶ ἀνυπόδητον καὶ ἄστρωτον καὶ ἄοπλον· ἤδη δὲ καὶ ἡ εἱμαρμένη ἡμέρα παρῆν, ἐν ᾗ ἔδει καὶ ἄνθρωπον ἐξιέναι ἐκ γῆς εἰς φῶς. Ἀπορίᾳ οὖν ἐχόμενος ὁ Προμηθεὺς, ἥντινα σωτηρίαν τῷ ἀνθρώπῳ εὕροι, κλέπτει Ἡφαίστου καὶ

Ἀθηνᾶς τὴν ἔντεχνον σοφίαν[15]) σὺν πυρὶ — ἀμήχανον γὰρ ἦν, ἄνευ πυρὸς αὐτὴν κτητήν τῳ ἢ χρησίμην γενέσθαι — καὶ οὕτω δὴ δωρεῖται ἀνθρώπῳ.

Ἐπειδὴ δὲ ὁ ἄνθρωπος θείας μετέσχε μοίρας[16]), πρῶτον μὲν διὰ τὴν τοῦ θεοῦ συγγένειαν ζώων μόνον θεοὺς ἐνόμισε, καὶ ἐπεχείρει βωμούς τε ἱδρύεσθαι καὶ ἀγάλματα θεῶν· ἔπειτα φωνὴν καὶ ὀνόματα ταχὺ διηρθρώσατο τῇ τέχνῃ, καὶ οἰκήσεις καὶ ἐσθῆτας καὶ ὑποδέσεις καὶ στρωμνὰς καὶ τὰς ἐκ γῆς τροφὰς εὕρετο· οὕτω δὴ παρεσκευασμένοι κατ' ἀρχὰς οἱ ἄνθρωποι ᾤκουν σποράδην, πόλεις δ' οὐκ ἦσαν· ἀπώλλυντο οὖν ὑπὸ τῶν θηρίων διὰ τὸ[17]) πανταχῇ αὐτῶν ἀσθενέστεροι εἶναι, καὶ ἡ δημιουργικὴ τέχνη αὐτοῖς πρὸς μὲν τροφὴν ἱκανὴ βοηθὸς ἦν, πρὸς δὲ τὸν τῶν θηρίων πόλεμον ἐνδεής· πολιτικὴν γὰρ τέχνην οὔπω εἶχον, ἧς μέρος πολεμική[18])· ἐζήτουν δὴ ἀθροίζεσθαι, κτίζοντες πόλεις. Ὅτ' οὖν ἀθροισθεῖεν[19]), ἠδίκουν ἀλλήλους, ἅτε οὐκ ἔχοντες τὴν πολιτικὴν τέχνην· ὥστε πάλιν σκεδαννύμενοι διεφθείροντο.

Ζεὺς οὖν δείσας περὶ τῷ γένει ἡμῶν, μὴ ἀπόλοιτο πᾶν, Ἑρμῆν πέμπει ἄγοντα εἰς ἀνθρώπους αἰδῶ τε καὶ δίκην, ἵν' εἶεν πόλεων κόσμοι τε καὶ δεσμοὶ, φιλίας συναγωγοί. Ἐρωτᾷ οὖν Ἑρμῆς Δία, τίνα οὖν τρόπον δοίη δίκην καὶ αἰδῶ ἀνθρώποις. „Πότερον, ὡς αἱ τέχναι νενέμηνται, οὕτω καὶ ταύτας νείμω, ἢ ἐπὶ πάντας νείμω;“ — Ἐπὶ πάντας, ἔφη ὁ Ζεὺς, καὶ πάντες μετεχόντων[20]), οὐ γὰρ ἂν γένοιντο πόλεις, εἰ ὀλίγοι αὐτῶν μετέχοιεν ὥσπερ ἄλλων τεχνῶν· καὶ νόμον γε θὲς παρ' ἐμοῦ, τὸν μὴ δυνάμενον αἰδοῦς καὶ δίκης μετέχειν κτείνειν ὡς νόσον πόλεως.

[1]) st. πρέποι. [2]) bittet sich aus, allein . . verth. zu dürfen. [3]) ἐὰν δὲ νείμω, wenn ich v . . . . habe. [4]) nemlich den Prometheus. [5]) gegen Wind und Wetter. [6]) wenn sie in ihr L. giengen. [7]) sollte sein. [8]) τὸ ἐντεῦθεν. [9]) ἐνίοις. [10]) indem er durch die (zahlreiche) Brut für die Erhaltung der Art sorgte. [11]) weil er nun eben doch . . . war. [12]) übersah er, daß er . . . . [13]) = τί ποιοῖ

[14]) mit Allem wohl verſehen. [15]) Kunſtſinn. [16]) Erbtheil [17]) weil ſie . . . waren; attract. des Nom. [18]) sc. ἐστί. [19]) „Wann ſie nun auch einmal" . . . opt. der Wiederholung. [20]) imper.

6. Der Flötenſpieler und die Fiſche.

Ἐπεὶ οἱ Λυδοὶ κατεστραμμένοι[1]) *ἦσαν ὑπὸ Περσῶν, Ἴωνες καὶ Αἰολεῖς ἔπεμπον ἀγγέλους ἐς Σάρδεις παρὰ Κῦρον ἐθέλοντες ἐπὶ τοῖς αὐτοῖς*[2]) *κατήκοοι εἶναι, ἐφ' οἷς καὶ Κροίσῳ ἦσαν. Ὁ δ' ἀκούσας τοὺς λόγους αὐτῶν, ἔλεξε τοῦδε τὸν λόγον*[3])*· „Ἀνὴρ αὐλητὴς, ἰδὼν ἰχθῦς ἐν τῇ θαλάττῃ, ηὔλει δοκῶν ἐξελεύσεσθαι*[4]) *αὐτοὺς ἐς γῆν. Ὡς δ' ἐψεύσθη τῆς ἐλπίδος, ἔλαβεν ἀμφίβληστρον καὶ περιβαλὲ τε πλῆθος πολὺ τῶν ἰχθύων καὶ ἐξεῖλκυσεν. Ἰδὼν δὲ πάλλομένους, εἶπε πρὸς τοὺς ἰχθῦς· Παύεσθέ μοι ὀρχούμενοι, ἐπεὶ οὐδ' ἐμοῦ αὐλοῦντος ἠθέλετε ἐκβαίνειν ὀρχούμενοι."* *Κῦρος δὲ τοῦτον τὸν λόγον τοῖς Ἴωσι καὶ τοῖς Αἰολεῦσι τούτου ἕνεκα ἔλεξεν, ὅτι οἱ Ἴωνες πρότερον, αὐτοῦ Κύρου δεηθέντος*[5]) *αὐτῶν δι' ἀγγέλων, ἀφιστασθαι ἀπὸ Κροίσου, οὐκ ἐπείσθησαν, τότε δὲ*[6])*, κατειργασμένων τῶν πραγμάτων, ἦσαν ἕτοιμοι πείθεσθαι Κύρῳ.*

[1]) καταστρέφειν. [2]) nemlich „Bedingungen." [3]) hier ſ. v. a. μῦθος, Fabel. [4]) ἐξέρχεσθαι. [5]) als K. ſie durch B . . . aufforderte. [6]) jetzt aber, nachdem . . .

7. Der Löwe und der Fuchs.

Λέων γηράσας καὶ μὴ δυνάμενος διαρκεῖσαι αὐτῷ εἰς τροφήν, ἐγνω δι' ἐπινοίας τι πρᾶξαι. Καὶ δὴ παραγενόμενος ἐν σπηλαίῳ τινὶ, κατακλινθεὶς προσεποιεῖτο νοσεῖν. Παραγενόμενα οὖν τὰ ζῶα ἐπισκέψεως χάριν, συλλαμβάνων κατῆσθιεν αὐτά. Πολλῶν οὖν ζώων ἀναλωθέντων[1])*, ἀλώπηξ τὸ τεχνασμα τοῦτο γνοῦσα*[2])*, παρεγενετο πρὸς αὐτον καὶ στᾶσα ἔξωθεν τοῦ σπηλαίου ἐπυνθάνετο· πῶς ἔχει.*[3]) *Τοῦ δὲ εἰπόντος· κακῶς, καὶ τὴν αἰτίαν πυνθανομένου, δι' ἣν οὐκ εἰσέρχεται, ἡ*

ἀλώπηξ εἶπεν, ὅτι εἰσιόντων μὲν τὰ ἴχνη τὰ ἐκεισε τετραμμένα[4]) *δῆλα*[5])*, ἐξιόντων δὲ οὐδαμῆ ἂν τις ἴδοι.*

[1]) wenn nun die Th . . . herbeikamen, συνιλάμβανε καὶ . . . [2]) ἀναλίσκειν. [3]) γιγνώσκειν. [4]) ſich befinde. [5]) τρέπειν. [6]) sc. ἐστίν.

8. Merkur und der Bildhauer.

Ἑρμῆς γνῶναι βουλόμενος, ἐν τίνι τιμῇ παρ' ἀνθρώποις ἐστὶν, ἦκεν εἰς ἀγαλματοποιοῦ[1])*, ἑαυτὸν εἰκάσας ἀνθρώπῳ*[2])*· καὶ θεασάμενος ἄγαλμα τοῦ Διὸς, ἠρώτα, πόσου*[3]) *τις αὐτὸ πριασθαι δύναται. Τοῦ δὲ εἰπόντος „δραχμῆς", γελάσας, πόσου τὸ τῆς Ἥρας, ἔφη. Εἰπόντος δὲ „πλείονος", ἰδὼν καὶ τὸ ἑαυτοῦ ἄγαλμα καὶ νομίσας ὡς, ἐπειδὴ ἄγγελός ἐστι θεῶν καὶ κερδῷος, πολὺν αὐτοῦ παρὰ τοῖς ἀνθρώποις εἶναι*[4]) *τὸν λόγον, ἤρετο περὶ αὐτοῦ. Ὁ δ' ἀγαλματοποιὸς εἶπεν· ἐὰν τούτους ὠνήσῃ, καὶ τόνδε προσθήκην σοι δώσω.*

[1]) sc. τὸν οἶκον. [2]) humana facie indutus. [3]) Gen. des Preiſes. [4]) Anakoluth. Auf ὡς (ὅτι) ſollte Nom. c. Ind. od. Opt. folgen. Jenes iſt aber nach einem Zwiſchenſatz nicht ſelten.

9. Die Schildkröte und der Adler.

Χελώνη ἀετοῦ ἐδεῖτο, ἵπτασθαι αὐτὴν διδάξαι. Τοῦ δὲ παραινοῦντος, πόῤῥω τοῦτο τῆς φύσεως αὐτῆς εἶναι, ἐκείνη μᾶλλον τῇ δεήσει προσέκειτο. Λαβὼν οὖν αὐτὴν τοῖς ὄνυξι καὶ εἰς ὕψος ἀνενεγκὼν[1])*, εἶτ' ἀφῆκεν.*[2]) *Ἡ δὲ κατὰ πετρῶν πεσοῦσα*[3]) *συνετρίβη.*[4])

[1]) ἀναφέρειν. [2]) ἀφιέναι. [3]) πίπτειν. [4]) aor. 2. Pass.

10. Der Pfau und die Vögel.

Τῶν ὀρνίθων βουλομένων ποιῆσαι βασιλέα, ταὼς ἑαυτὸν ᾑρεῖτο διὰ τὸ κάλλος χειροτονεῖν. Αἱρουμένων δὲ τοῦτον πάντων, κολοιὸς ὑπολαβὼν εἶπεν· Ἀλλ' εἰ σοῦ βασι-

λεύοντος ἀετὸς ἡμᾶς καταδιώκειν ἐπιχειρήσει, πῶς ἂν ἡμῖν ἐπαρκέσαις.

11. Die Nachtigall und der Habicht.

Ἀηδὼν ἐπὶ δενδρου καθεζομενη, κατὰ τὸ εἰωθὸς ᾖδεν. Ἱεραξ δὲ, θεασάμενος καὶ τροφῆς ἀπορῶν, συνέλαβεν ἐπιπτάς [1]). Ἡ δ' ἀναιρεῖσθαι μέλλουσα, ἐδεῖτο τοῦ ἱέρακος, μὴ βρωθῆναι [2])· μηδὲ γὰρ ἱκανὴ εἶναι [3]) ἱέρακος γαστέρα πλησοῦν, δεῖν δ' αὐτὸν τροφῆς προσδεόμενον ἐπὶ τὰ μείζω τῶν ὀρνεων τραπέσθαι. Καὶ ὁ ἱέραξ ὑπολαβὼν εἶπεν. Ἀλλ' ἔγωγε ἄφρων ἂν εἴην, εἰ τὴν ἐν χερσὶν ἑτοίμην τροφὴν ἀφεὶς [4]) τὰ μὴ φαινόμενά πω διώκοιμι.

[1]) ἁρπάσασθαι. [2]) βιβρώσκειν. [3]) **Nom. c. Inf.** durch Attraction zu Ἡ δὲ — „sie sei ja doch nicht . . . [4]) ἀφιέναι.

12. Der Greis und der Tod.

Γέρων ποτὲ ξύλα τεμὼν ἐξ ὄρους, κἀπὶ [1]) τῶν ὤμων ἀραμενος [2]), ἐπειδὴ πολλὴν ὁδὸν ἐπηλθισμένος [3]) ἐβάδισεν, ἀπειρικῶς [4]) ἀπέθετό τε τὰ ξύλα καὶ τὸν θάνατον ἐλιθεῖν ἐπεκαλεῖτο. Τοῦ δὲ θανάτου εὐθὺς ἐπιστάντος καὶ τὴν αἰτιαν πυνθανομένου, δι' ἣν αὐτὸν καλοίη, ὁ γέρων εἶπεν· ἵνα τὸν φόρτον τοῦτον ἆρας ἐπιθῇς μοι.

[1]) καὶ ἐπί — . [2]) αἴρειν. [3]) ἐπαχθίζω, ein Ausdruck späterer Zeit für belasten; hier: „mit der Last". [4]) ἀπειπεῖν, intr.

13. Der Landmann und seine Söhne.

Γεωργός τις μέλλων καταλύειν τὸν βιον καὶ βουλόμενος τοὺς ἑαυτοῦ παῖδας πεῖραν λαβεῖν τῆς γεωργίας, προσκαλεσάμενος αὐτούς· Παῖδες ἐμοὶ, ἔφη, ἐγὼ μὲν ἤδη τὸν βιον ὑπέξειμι, ὑμεῖς δ' ἅπερ ἐν τῇ ἀμπέλῳ μοι [1]) κέκρυπται, ζητήσαντες [2]) εὑρήσετε πάντα. Οἱ μὲν οὖν οἰηθέντες θησαυρὸν ἐκεῖ που κατορωρύχθαι, πᾶσαν τὴν τῆς ἀμπέλου γῆν μετὰ τὴν ἀποβίωσιν [3]) τοῦ πατρὸς κατέσκαψαν,

καὶ θησαυρῷ μὲν οὐ περιέτυχον, ἡ δὲ ἄμπελος καλῶς σκαφεῖσα πολλαπλάσιον τὸν καρπὸν ἀνέδωκεν.

[1]) = ἐγὼ κέκρυφα. [2]) ἐὰν ζητήσητε. [3]) καταρύττειν. [4]) Später er Ausdruck („Ableben") für τελευτή.

14. Der Hund und der Wolf.

Κύων πρὸ ἐπαύλεώς τινος ἐκάθευδε. Λύκου δ' ἐπιδραμόντος [1]) καὶ βρῶμα μέλλοντος θύσειν αὐτὸν, ἐδεῖτο μὴ νῦν αὐτὸν καταθῦσαι. Νῦν μὲν γὰρ, φησί, λεπτός εἰμι καὶ ἰσχνός· ἐὰν δὲ μικρὸν ἀναμείνῃς, μέλλουσιν οἱ ἐμοὶ δεσπόται ποιήσειν γάμους, κἀγὼ τηνικαῦτα πολλὰ φαγὼν πιμελέστερος ἔσομαι καὶ σοὶ ἡδύτερον βρῶμα γενήσομαι. Ὁ μὲν οὖν λύκος πεισθεὶς ἀπῆλθε· μεθ' ἡμέρας δ' ἐπανελθὼν εὗρεν ἄνω ἐπὶ τοῦ δώματος τὸν κύνα καθεύδοντα καὶ στὰς κάτωθεν πρὸς ἑαυτὸν ἐκάλει, ὑπομιμνήσκων αὐτὸν τῶν συνθηκῶν. Καὶ ὁ κύων· Ἀλλ', ὦ λῦκε, ἔφη, εἰ τὸ ἀπὸ τοῦδε πρὸ τῆς ἐπαύλεώς με ἴδοις [2]) καθεύδοντα, μηκέτι γάμους ἀναμείνῃς. [3])

[1]) ἐπιτρέχειν. [2]) sehen solltest. [3]) Conj. aor. ſt. des Imper. bei μή.

15. Der Löwe, der Esel und der Fuchs.

Λέων καὶ ὄνος καὶ ἀλώπηξ, κοινωνίαν ποιησάμενοι, ἐξῆλθον πρὸς ἄγραν. Πολλῆς οὖν θήρας συλληφθείσης, προσέταξεν ὁ λέων τῷ ὄνῳ, διελεῖν [1]) αὐτοῖς. Ὁ δὲ τρεῖς μερίδας ποιησάμενος, ἐκ τῶν ἴσων ἐκλέξασθαι τούτους προὐτρέπετο. Καὶ ὁ λέων θυμωθεὶς τὸν ὄνον κατέφαγεν. Εἶτα τὴν ἀλώπεκα μερίζειν ἐκέλευσεν. Ἡ δ' εἰς μίαν μερίδα πάντα σωρεύσασα, ἑαυτῇ βραχύ τι κατέλιπε. Καὶ ὁ λέων πρὸς αὐτήν· Τίς σε, ὦ βελτίστη, διαιρεῖν οὕτως ἐδίδαξεν; Ἡ δ' εἶπεν· Ἡ τοῦ ὄνου συμφορά.

[1]) διαιρεῖν, sc. τὴν ἄγραν.

16. Die Ameise und die Taube.

Μύρμηξ διψήσας, κατελθὼν εἰς πηγήν, παρασυρεὶς [1] *ὑπὸ τοῦ ῥεύματος ἀπεπνίγετο* [2]. *Περιστερὰ δὲ, τοῦτο θεασαμένη, κλῶνα δένδρου περιελοῦσα* [3] *εἰς τὴν πηγὴν ἔῤῥιψεν, ἐφ' οὗ καὶ καθίσας ὁ μύρμηξ διεσώθη. Ἰξευτὴς δέ τις μετὰ τοῦτο τοὺς καλάμους συνθεὶς ἐπὶ τὸ τὴν περιστερὰν συλλαβεῖν ἤει. Τοῦτο ὁ μύρμηξ ἑωρακὼς τὸν τοῦ ἰξευτοῦ πόδα ἔδακεν. Ὁ δὲ ἀλγήσας τούς τε καλάμους ἔῤῥιψε καὶ τὴν περιστερὰν αὐτίκα φυγεῖν ἐποίησεν.*

[1]) Aor. 2. P. [2]) war am Erſticken. [3]) περιαιρεῖν.

17. Der Hirt und das Meer.

Ποιμὴν, ἐν παραθαλασσίῳ τόπῳ ποίμνιον νέμων, ἑωρακως γαληνιῶσαν τὴν θάλασσαν, ἐπεθύμησε πλεῦσαι [1] *πρὸς ἐμπορίαν. Ἀπεμπολήσας* [2] *οὖν τὰ πρόβατα καὶ φοινικων βαλάνους πριάμενος, ἀνήχθη.* [3]) *Χειμῶνος δὲ σφοδροῦ γενομένου καὶ τῆς νεὼς* [4] *κινδυνευούσης βαπτίζεσθαι, πάντα τὸν φόρτον ἐκβαλὼν εἰς τὴν θάλασσαν, μόλις κενῇ τῇ νηῒ διεσώθη. Μετὰ δ' ἡμέρας οὐκ ὀλίγας παυσάντος τινὸς, καὶ τῆς θαλάσσης (ἔτυχε γὰρ γαληνιῶσα) τὴν ἐρημίαν θαυμάζοντος, ὑπολαβὼν οὗτος εἶπε· Φοινίκων αὖθις, ὡς ἔοικεν, ἐπιθυμεῖ, καὶ διὰ τοῦτο φαίνεται ἡσυχάζουσα.*

[1]) πλεῖν. [2]) Späterer Ausdruck für πωλεῖν. [3]) ἀνάγειν. [4]) ναῦς.

18. Der Hirſch und der Weinſtock.

Ἔλαφος κυνηγοὺς φεύγουσα ὑπ' ἀμπελῳ ἐκρύβη [1]). *Παρελθόντων δ' ὀλίγον ἐκείνων, ἡ ἔλαφος, τελέως ἤδη λαθεῖν δόξασα* [2]), *τῶν τῆς ἀμπέλου φύλλων ἐσθίειν ἤρξατο. Τούτων δὲ σειομένων οἱ κυνηγοὶ ἐπιστραφέντες* [3]) *καὶ, ὅπερ ἦν ἀληθὲς, νομίσαντες τῶν ζώων ὑπὸ τοῖς φύλλοις τι κρίπτεσθαι, βέλεσιν ἀνεῖλον* [4]) *τὴν ἔλαφον. Ἡ δὲ θνήσκουσα τοιαῦτ' ἔλεγε· Δικαια πέπονθα* [5]), *οὐ γὰρ ἔδει* [6]) *τὴν σώσασάν* [7]) *με λυμαίνεσθαι.*

[1]) κρίπτειν, aor. 2. Pass. [2]) welcher meinte . . . [3]) ἐπιστρέφειν. [4]) ἀναιρεῖν. [5]) πάσχειν. [6]) imperſon. mit fehlendem ἄν: „ich hätte u. ſollen“ . . . [7]) σώζειν, part. aor. 1. Act. „den (Weinſtock), der mich“ . . .

19. Das Weib und die Mägde.

Γυνὴ χήρα φιλεργὸς, θεραπαινίδας ἔχουσα, ταύτας εἰώθει νυκτὸς ἐγείρειν ἐπὶ τὰ ἔργα πρὸς τὰς τῶν ἀλεκτρυόνων ᾠδάς. Αἱ δὲ συνεχῶς τῷ πόνῳ ταλαιπωρούμεναι ἔγνωσαν, δεῖν τὸν ἐπὶ τῆς οἰκίας ἀλεκτρυόνα ἀποκτεῖναι ὡς ἐκείνου νύκτωρ ἐξανιστάντος [1]) *τὴν δέσποιναν. Συνέβη δ' αὐταῖς, τοῦτο διαπραξαμέναις* [2]), *χαλεπωτέροις περιπεσεῖν τοῖς δεινοῖς. Ἡ γὰρ δεσπότις, ἀγνοοῦσα τὴν τῶν ἀλεκτρυόνων ὥραν, ἐννυχώτερον ταύτας ἀνίστη.*

[1]) „weil er . . . aufwecke.“ [2]) „nachdem ſie . . .“

20. Der Landmann.

Γεωργός τις σκάπτων χρυσίῳ περιέτυχε. Καθ' ἑκάστην [1]) *οὖν τὴν Γῆν* [2]) *ὡς ἐξ αὐτῆς εὐεργετηθεὶς ἔστεφε. Τῷ δὲ ἡ Τύχη ἐπιστᾶσα· Ὦ οὗτος, φησίν, τι τῇ Γῇ τὰ ἐμὰ δῶρα προσανατίθης, ἅπερ ἐγώ σοι δέδωκα, πλουτίσαι σε βουλομένη; Εἰ* [3]) *γὰρ ὁ καιρὸς μεταβάλοι καὶ πρὸς ἑτέρας χεῖρας τοῦτό σοι τὸ χρυσίον ἔλθοι, οἶδ' ὅτι* [4]) *τηνικαῦτα ἐμὲ τὴν Τύχην μεμψῃ.*

[1]) sc. ἡμέραν. [2]) die Bildſäule der Gäa (Erde). [3]) denn, ſollte etwa . . . μεταβάλλειν intrans. (ſich ändern). [4]) adverbialiſch: gewiß.

21. Der Trompeter.

Σαλπιγκτὴς, στρατὸν ἐπισυνάγων [1]), *κρατηθεὶς* [2]) *ὑπὸ τῶν πολεμίων ἐβόα· Μὴ κτείνετέ με, ὦ ἄνδρες, εἰκῇ καὶ μάτην. Οὐδένα γὰρ ὑμῶν ἀπέκτεινα· πλὴν γὰρ τοῦ χαλ-*

κοῦ τούτου οὐδὲν ἄλλο κέκτημαι. Οἱ δὲ πρὸς αὐτόν· Διὰ τοῦτο γὰρ [3]), ἔφασαν, μᾶλλον τεθνήξῃ [4]), ὅτι σύ, μὴ δυνάμενος [5]) πολεμεῖν, τοὺς πάντας πρὸς μάχην ἐγείρεις.

[1]) part. impf. „welcher . ." [2]) aor. „als er . . ." [3]) Supplire voraus: τοῦτό σοι οὐδὲν ὄφελος — [4]) fut. 3. must du st. [5]) „ohne zu können".

22. Die Cikaden und die Ameisen.

Θέρους ἦν ἀκμή, καὶ οἱ μὲν τέττιγες μουσικὴν ἀνεβάλλοντο σύντονον, τοῖς μύρμηξι δὲ πονεῖν ἐπῄει [1]) καὶ συλλέγειν καρπούς, ἐξ ὧν ἔμελλον τοῦ χειμῶνος τραφήσεσθαι [2]). Χειμῶνος δὲ ἐπιγεγονότος, μύρμηκες μὲν, οἷς [3]) ἐπόνουν, ἐτρέφοντο, τοῖς δὲ ἡ τέρψις ἐτελεύτα πρὸς [4]) ἔνδειαν. Οὕτω νεότης πονεῖν οὐκ ἐθέλουσα παρὰ τὸ γῆρας κακοπραγεῖ.

[1]) ἐπιέναι [2]) τρέφειν. Fut. 2. Pass. [3]) ἐπιγίγνεσθαι. [4]) τούτοις, ἃ — [5]) mit.

23. Der Fuchs und der Rabe.

Κόραξ, κρέας ἁρπάσας, ἐπὶ δένδρου τινὸς ἐκάθισεν. Ἀλώπηξ δὲ, τοῦτον ἰδοῦσα καὶ βουλομένη περιγενέσθαι τοῦ κρέως [1]) στᾶσα κάτωθεν ἐπῄνει [2]) αὐτὸν ὡς εὐμέγεθες καὶ καλὸν ὄρνεον καὶ θηρευτικὸν [3]) καὶ εὔμορφον, λέγουσα καὶ ὅτι πρέπει [4]) μάλιστα αὐτὸν τῶν ὀρνέων βασιλεύειν καὶ τοῦτο πάντως ἂν γένοιτο, εἰ φωνὴν εἶχεν. Ὁ δὲ κόραξ ἀκούσας ταῦτα καὶ χαυνωθεὶς [5]) τοῖς ἐπαίνοις, ῥίψας τὸ κρέας μεγάλως ἐκεκράγει. [6]) Ἡ δὲ ἀλώπηξ, δραμοῦσα καὶ λαβοῦσα τὸ κρέας, εἶπε πρὸς αὐτόν· Ἔχεις, ὦ κόραξ, ἅπαντα, νοῦς δέ σε λείπει.

[1]) st. κρέατος [2]) ἐπαινεῖν. [3]) als Raubvogel, der ein solches Stück erjagt habe. S. das Wörterb. [4]) er sollte . . . [5]) dichterisch und in späterer Prosa. s. d. Wb. [6]) κράζειν.

24. Der Holzhauer und Merkur.

Ξυλευόμενός τις παρὰ ποταμῷ τὸν οἰκεῖον ἀπέβαλλε πέλεκυν. Ἀμηχανῶν τοίνυν παρὰ τὴν ὀχθὴν καθίσας

ὠδύρετο. Ἑρμῆς δὲ μαθὼν [1]) τὴν αἰτίαν καὶ οἰκτείρας τὸν ἄνθρωπον, καταδὺς εἰς τὸν ποταμὸν, χρυσοῦν ἀνήνεγκε [2]) πέλεκυν, καὶ, εἰ οὗτός ἐστιν, ὃν ἀπώλεσεν [3]), ἤρετο. Τοῦ δὲ μὴ τοῦτον εἶναι φαμένου [4]), αὖθις καταβὰς ἀργυροῦν ἀνεκόμισε. Τοῦ δὲ, μηδὲ τοῦτον εἶναι τὸν οἰκεῖον, εἰπόντος, ἐκ τρίτου [5]) καταβὰς, ἐκεῖνον τὸν οἰκεῖον ἀνήνεγκε. Τοῦ δὲ τοῦτον ἀληθῶς εἶναι τὸν ἀπολωλότα [6]) φαμένου, Ἑρμῆς, ἀποδεξάμενος αὐτοῦ τὴν δικαιοσύνην, ἅπαντας αὐτῷ ἐδωρήσατο. Ὁ δὲ παραγενόμενος πάντα τοῖς ἑταίροις τὰ συμβάντα διεξῆλθεν· ὧν εἷς τις τὰ ἴσα διαπράξασθαι ἐβουλεύσατο, καὶ παρὰ τὸν ποταμὸν ἐλθὼν καὶ τὴν οἰκείαν ἀξίνην ἐξεπίτηδες ἀφεὶς εἰς τὸ ῥεῦμα κλαίων ἐκάθητο. Ἐπιφανεὶς [7]) οὖν ὁ Ἑρμῆς κἀκείνῳ καὶ τὴν αἰτίαν μαθὼν τοῦ θρήνου, καταβὰς ὁμοίως χρυσῆν ἀξίνην ἐξήνεγκε καὶ ἤρετο, εἰ ταύτην ἀπέβαλε. Τοῦ δὲ σὺν ἡδονῇ, Ναὶ ἀληθῶς ἥδ' ἐστι, φήσαντος [8]), μισήσας ὁ θεὸς τὴν τοσαύτην ἀναιδείαν, οὐ μόνον ἐκείνην κατέσχεν, ἀλλ' οὐδὲ τὴν οἰκείαν ἀπέδωκεν.

[1]) μανθάνειν. [2]) ἀναφέρειν. [3]) ἀπολλύναι. [4]) das med. von φάναι ist im part. und inf. gebräuchlich für φάσκειν (versichern). Ebenso aor. 1 Act. [5]) zum dritten Mal. [6]) ἀφιέναι. [7]) ἐπιφαίνεσθαι.

25. Die Wanderer und der Bär.

Δύο φίλοι τὴν αὐτὴν ὁδὸν ἐπορεύοντο· ἄρκτου δὲ αὐτοῖς ἐπιφανείσης, ὁ μὲν εἷς φθάσας ἀνέβη [1]) ἐπὶ τὸ δένδρον, καὶ ἐνταῦθα ἐκρύπτετο [2])· ὁ δὲ ἕτερος, μέλλων [3]) περικατάληπτος γίγνεσθαι, πεσὼν ἐπὶ τοῦ ἐδάφους ἑαυτὸν νεκρὸν προσεποιεῖτο· τῆς δὲ ἄρκτου προσενεγκούσης αὐτῷ τὸ ῥύγχος καὶ περιοσφραινομένης, τὰς ἀναπνοὰς συνεῖχε· (φασὶ γὰρ νεκροῦ μὴ ἅπτεσθαι τὸ ζῶον). Ἀπαλλαγείσης [4]) δὲ, ὁ μὲν ἀπὸ τοῦ δένδρου καταβὰς ἐπυνθάνετο τοῦ ἑτέρου, τί ἡ ἄρκτος πρὸς τὸ οὖς εἰρήκει· ὁ δὲ εἶπε· τοῦ λοιποῦ, τοιούτοις μὴ συνοδοιπορεῖν φίλοις, οἳ ἐν κινδύνοις οὐ παραμένουσιν.

[1]) ἀναβαίνειν, [2]) Med. [3]) als er eben wollte .... [4]) ἀπαλλάττεσθαι. [5]) sc. χρόνου.

26. Das Pferd und der Eſel.

Ἄνθρωπός τις εἶχε ἵππον καὶ ὄνον. Ὁδευόντων δὲ [1]) *ἐν τῇ ὁδῷ, εἶπεν ὁ ὄνος τῷ ἵππῳ· ἆρον* [2]) *ἐκ τοῦ ἐμοῦ βάρους, εἰ θέλεις εἶναί με σῶν. Ὁ δὲ οὐκ ἐπείσθη. Ὁ δὲ ὄνος πεσὼν ἐκ τοῦ κόπου ἐτελεύτησε. Τοῦ δὲ δεσπότου πάντα ἐπιθέντος* [3]) *αὐτῷ καὶ αὐτὴν τὴν ὄνου δορὰν, θρηνῶν ὁ ἵππος ἐβόα· οἵ μοι τῷ παναθλίῳ! τί μοι συνέβη τῷ ταλαιπώρῳ; μὴ θελήσας γὰρ μικρὸν βάρος λαβεῖν, ἰδοὺ ἅπαντα βαστάζω, καὶ τὸ δέρμα.*

[1]) part. abs. sc. αὐτῶν. [2]) ἆρειν, imp. aor. 1. [3]) ἐπιτιθέναι.

In der **Chreſtomathie** ſelbſt fehlt S. 113, die Note [14]) „ὡς c. Part. bei verbis der Meinung und Behauptung öfters gleich ὡς (ὅτι) c. Indic.“ S. 124, Z. 18, hinter *συνεσπειραμένην* das Partic. *ἔχων*. S. 170, Zeile 11, hinter *σκοποίμενος* das verb. *διάξεις*.